www.tezaurliturgic.ro

**Π ε ρ ι ε χ ό μ ε ν α**


| | Σελὶς |
|---|---|
| Μικρὸς Ἑσπερινὸς τῆς 3ης Ἰανουαρίου | 5 |
| Μέγας Ἑσπερινὸς τῆς 3ης Ἰανουαρίου | 8 |
| Ὄρθρος καὶ κανὼν τῆς ἑορτῆς | 25 |
| Μικρὸς Ἑσπερινὸς τῆς 5ης Μαΐου | 49 |
| Μέγας Ἑσπερινὸς τῆς 5ης Μαΐου | 52 |
| Ὄρθρος καὶ κανὼν τῆς ἑορτῆς | 60 |
| Παρακλητικὸς κανὼν τοῦ Ἁγίου Ἐφραὶμ | 74 |
| Χαιρετισμοὶ εἰς τὸν Ἅγιον Ἐφραὶμ | 89 |
| Ἐγκώμια εἰς τὸν Ἅγιον Ἐφραὶμ | 101 |
| Ὀλίγα ἀπὸ τὸ βιβλίον τῶν θαυμάτων | 109 |






# ΙΑΝΟΥΑΡΙΟΥ Γ΄.

**Μνήμη τῆς εὑρέσεως τῶν τιμίων λειψάνων τοῦ Ἁγίου Ὁσιομάρτυρος *Ἐφραὶμ* τοῦ θαυματουργοῦ, ἀσκήσαντος καὶ μαρτυρικῶς τελειωθέντος ἐν τῇ Ἱερᾷ Μονῇ τῆς Ὑπεραγίας Θεοτόκου κειμένης ἐν τῷ παρὰ τὴν Ἀττικὴν ὄρει τῶν Ἀμώμων, κατὰ τὰς ἀρχὰς τοῦ ΙΕ΄ αἰῶνος.**

## ΕΝ ΤΩ ΜΙΚΡΩ ΕΣΠΕΡΙΝΩ

Ἱστῶμεν στίχους δ΄ καὶ ψάλλομεν τὰ ἑξῆς **Προσόμοια.**
*Ἦχος α΄. Πανεύφημοι Μάρτυρες.*

**Προσέλθωμεν** πάντες οἱ πιστοί, καὶ πανηγυρίσωμεν, πνευματικῶς εὐφραινόμενοι, τὴν θείαν εὕρεσιν, τῶν σεπτῶν λειψάνων, Ἐφραὶμ τοῦ παμμάκαρος, ἐν ὄρει τῶν Ἀμώμων ἐκλάψαντος, Χριστὸν δοξάζοντες, τὸν ἀρτίως φανερώσαντα, τοῖς ἐν κόσμῳ, τὸν αὐτοῦ θεράποντα.

**Ὡς ἄνθη** πανεύοσμα ἡμῖν, ἐκ τῆς γῆς ἐφάνησαν, τὰ σὰ μυρίπνοα λείψανα, Ἐφραὶμ μακάριε, ἰαμάτων χάριν, καὶ ὀσμὴν οὐράνιον, παρέχοντα τοῖς πίστει προστρέχουσι, τῇ θείᾳ Μάνδρᾳ σου, ἐν ᾗ πάλαι στερρῶς ἤσκησας, καὶ ἀθλήσει, τὸν βίον ἐσφράγισας.

www.tezaurliturgic.ro



**Εὑρέσει** τῶν θείων σου ὀστῶν, γνώριμος ἐγένετο, πᾶσιν ὁ ἄγνωστος βίος σου, Ἐφραὶμ Πατὴρ ἡμῶν· σὺ γὰρ ξένῳ τρόπῳ, ὤφθης καὶ ἐζήλωσας, τὴν κλῆσιν καὶ τὸ ἅγιον τέλος σου· διὸ κηρύττομεν, τὴν πολλήν σου χάριν Ἅγιε, ἣν παρέχεις, τοῖς σὲ μακαρίζουσι.

**Εὐφραίνεις** Ἐφραὶμ θαυματουργέ, οἷα πλήρης χάριτος, ποικίλοις τρόποις καὶ εἴδοσιν, ἐμφανιζόμενος, ταύτην τὴν Μονήν σου, καὶ τοῖς πόρῳ Ἅγιε, καθ' ὕπαρ καὶ κατ' ὄναρ ἑκάστοτε, καὶ νέμεις ἅπασι, τοῖς αἰτοῦσι τὰ αἰτήματα, καὶ ἰᾶσαι, πάθη χαλεπώτατα.

*Δόξα. Ἦχος δ'.*

**Ἀσκητικὴν** ἀνύσας ζωήν, αἵματι μαρτυρικῷ τὴν στολήν σου ἐφοίνιξας, κατ' ἄμφω Χριστῷ εὐαρεστήσας, Ἐφραὶμ ἀοίδιμε. Ὅθεν ἀρτίως ἡμῖν ἐκφανθείς, τῇ τῶν σεπτῶν σου λειψάνων εὑρέσει, τὴν ἐν σοὶ κεκρυμμένην λαμπρότητα, πᾶσιν ἐκφαίνεις, τῇ τῶν θαυμάτων ἐνεργείᾳ, καὶ ποικίλοις τρόποις, δι' ὧν εὐεργετεῖς τοὺς καλοῦντάς σε. Ἀλλ' ὡς ἔχων παρρησίαν Χριστῷ, πρέσβευε ὑπὲρ τῶν τιμώντων σε.

*Καὶ νῦν. Θεοτοκίον.*

**Ἐκ παντοίων** κινδύνων τοὺς δούλους σου φύλαττε, εὐλογημένη Θεοτόκε, ἵνα σὲ δοξάζωμεν τὴν ἐλπίδα τῶν ψυχῶν ἡμῶν.

**Ἀπόστιχα.**

*Ἦχος β'. Οἶκος τοῦ Ἐφραθᾶ.*

**Ὤφθησαν** ἐκ τῆς γῆς, τὰ θεῖα λείψανά σου, Ἐφραὶμ Ἱερομάρτυς, ἐν τῇ σεπτῇ Μονῇ σου, ἡμᾶς καθαγιάζοντα.



Στιχ. Τίμιος ἐναντίον Κυρίου ὁ θάνατος τῶν ὁσίων αὐτοῦ.

**Ἴασιν** χαλεπῶν, παρέχει νοσημάτων, τοῖς πίστει προσιοῦσιν, ἡ εὐαγὴς σορός σου, Ἐφραὶμ Μαρτύρων σύσκηνε.

Στιχ. Θαυμαστὸς ὁ Θεὸς ἐν τοῖς Ἁγίοις αὐτοῦ.

**Δίδου** τῇ σῇ Μονῇ, Ἐφραὶμ θαυματοφόρε, ἀντίληψιν ταχεῖαν, καὶ πᾶσαν εὐλογίαν, ὡς ταύτης θεῖος ἔφορος.

*Δόξα. Τριαδικόν.*

**Δόξα σοι** Βασιλεῦ, Τριὰς Ὑπεραγία, ὅτι ἀρτίως κόσμῳ, τὸν πάλαι κεκρυμμένον, Ἐφραὶμ γνωστὸν κατέστησας.

*Καὶ νῦν. Θεοτοκίον.*

**Χάριτας** ἡ Μονή, ἡ σὴ Ἁγνὴ ἐπλήσθη, ἐν τῇ ἀποκαλύψει, τῶν ἱερῶν λειψάνων, Ἐφραὶμ τοῦ σοῦ θεράποντος.

Νῦν ἀπολύεις, τὸ τρισάγιον, τὰ Ἀπολυτίκια ἐκ τοῦ Μεγάλου Ἑσπερινοῦ καὶ ἀπόλυσις.



www.tezaurliturgic.ro

## ΕΝ ΤΩ ΜΕΓΑΛΩ ΕΣΠΕΡΙΝΩ

*Ὁ Ἱερεύς· Εὐλογητὸς ὁ Θεὸς ἡμῶν, πάντοτε· νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.*

*Ὁ Ἀναγνώστης· Ἀμήν.*

*Δεῦτε, προσκυνήσωμεν καὶ προσπέσωμεν τῷ βασιλεῖ ἡμῶν Θεῷ.*

*Δεῦτε, προσκυνήσωμεν καὶ προσπέσωμεν Χριστῷ τῷ βασιλεῖ ἡμῶν Θεῷ.*

*Δεῦτε, προσκυνήσωμεν καὶ προσπέσωμεν αὐτῷ Χριστῷ τῷ βασιλεῖ καὶ Θεῷ ἡμῶν.*

**Ψαλμὸς ΡΓ΄ (103)**

Εὐλόγει, ἡ ψυχή μου, τὸν Κύριον· Κύριε, ὁ Θεός μου ἐμεγαλύνθης σφόδρα.

Ἐξομολόγησιν καὶ μεγαλοπρέπειαν ἐνεδύσω, ἀναβαλλόμενος φῶς ὡς ἱμάτιον.

Ἐκτείνων τὸν οὐρανὸν ὡσεὶ δέρριν, ὁ στεγάζων ἐν ὕδασι τὰ ὑπερῷα αὐτοῦ.

Ὁ τιθεὶς νέφη τὴν ἐπίβασιν αὐτοῦ, ὁ περιπατῶν ἐπὶ πτερύγων ἀνέμων.

Ὁ ποιῶν τοὺς Ἀγγέλους αὐτοῦ πνεύματα, καὶ τοὺς λειτουργοὺς αὐτοῦ πυρὸς φλόγα.

Ὁ θεμελιῶν τὴν γῆν ἐπὶ τὴν ἀσφάλειαν αὐτῆς, οὐ κλιθήσεται εἰς τὸν αἰῶνα τοῦ αἰῶνος.



Ἄβυσσος ὡς ἱμάτιον τὸ περιβόλαιον αὐτοῦ, ἐπὶ τῶν ὀρέων στήσονται ὕδατα.

Ἀπὸ ἐπιτιμήσεώς σου φεύξονται, ἀπὸ φωνῆς βροντῆς σου δειλιάσουσιν.

Ἀναβαίνουσιν ὄρη, καὶ καταβαίνουσι πεδία εἰς τὸν τόπον, ὃν ἐθεμελίωσας αὐτά.

Ὅριον ἔθου, ὃ οὐ παρελεύσονται, οὐδὲ ἐπιστρέψουσι καλῦψαι τὴν γῆν.

Ὁ ἐξαποστέλλων πηγὰς ἐν φάραγξιν, ἀναμέσον τῶν ὀρέων διελεύσονται ὕδατα.

Ποτιοῦσι πάντα τὰ θηρία τοῦ ἀγροῦ, προσδέξονται ὄναγροι εἰς δίψαν αὐτῶν.

Ἐπ' αὐτὰ τὰ πετεινὰ τοῦ οὐρανοῦ κατασκηνώσει· ἐκ μέσου τῶν πετρῶν δώσουσι φωνήν.

Ποτίζων ὄρη ἐκ τῶν ὑπερῴων αὐτοῦ· ἀπὸ καρποῦ τῶν ἔργων χορτασθήσεται ἡ γῆ.

Ὁ ἐξανατέλλων χόρτον τοῖς κτήνεσι, καὶ χλόην τῇ δουλείᾳ τῶν ἀνθρώπων.

Τοῦ ἐξαγαγεῖν ἄρτον ἐκ τῆς γῆς· καὶ οἶνος εὐφραίνει καρδίαν ἀνθρώπου.

Τοῦ ἱλαρῦναι πρόσωπον ἐν ἐλαίῳ· καὶ ἄρτος καρδίαν ἀνθρώπου στηρίζει.

Χορτασθήσονται τὰ ξύλα τοῦ πεδίου, αἱ κέδροι τοῦ Λιβάνου, ἃς ἐφύτευσας.

Ἐκεῖ στρουθία ἐννοσσεύσουσι, τοῦ ἐρωδιοῦ ἡ κατοικία ἡγεῖται αὐτῶν.

Ὄρη τὰ ὑψηλὰ ταῖς ἐλάφοις, πέτρα καταφυγὴ τοῖς λαγωοῖς.

Ἐποίησε σελήνην εἰς καιρούς· ὁ ἥλιος ἔγνω τὴν δύσιν αὐτοῦ.

Ἔθου σκότος, καὶ ἐγένετο νύξ· ἐν αὐτῇ διελεύ-

www.tezaurliturgic.ro



σονται πάντα τὰ θηρία τοῦ δρυμοῦ.

Σκύμνοι ὠρυόμενοι τοῦ ἁρπάσαι, καὶ ζητῆσαι παρὰ τῷ Θεῷ βρῶσιν αὐτοῖς.

Ἀνέτειλεν ὁ ἥλιος, καὶ συνήχθησαν, καὶ εἰς τὰς μάνδρας αὐτῶν κοιτασθήσονται.

Ἐξελεύσεται ἄνθρωπος ἐπὶ τὸ ἔργον αὐτοῦ, καὶ ἐπὶ τὴν ἐργασίαν αὐτοῦ ἕως ἑσπέρας.

Ὡς ἐμεγαλύνθη τὰ ἔργα σου, Κύριε· πάντα ἐν σοφίᾳ ἐποίησας· ἐπληρώθη ἡ γῆ τῆς κτίσεώς σου.

Αὕτη ἡ θάλασσα ἡ μεγάλη καὶ εὐρύχωρος· ἐκεῖ ἑρπετά, ὧν οὐκ ἔστιν ἀριθμός, ζῷα μικρὰ μετὰ μεγάλων.

Ἐκεῖ πλοῖα διαπορεύονται· δράκων οὗτος, ὃν ἔπλασας ἐμπαίζειν αὐτῇ.

Πάντα πρὸς σὲ προσδοκῶσι, δοῦναι τὴν τροφὴν αὐτῶν εἰς εὔκαιρον· δόντος σου αὐτοῖς, συλλέξουσιν.

**Ἀνοίξαντός σου τὴν χεῖρα,** τὰ σύμπαντα πλησθήσονται χρηστότητος· ἀποστρέψαντος δέ σου τὸ πρόσωπον, ταραχθήσονται.

Ἀντανελεῖς τὸ πνεῦμα αὐτῶν, καὶ ἐκλείψουσι, καὶ εἰς τὸν χοῦν αὐτῶν ἐπιστρέψουσιν.

Ἐξαποστελεῖς τὸ πνεῦμά σου, καὶ κτισθήσονται, καὶ ἀνακαινιεῖς τὸ πρόσωπον τῆς γῆς.

Ἤτω ἡ δόξα Κυρίου εἰς τοὺς αἰῶνας· εὐφρανθήσεται Κύριος ἐπὶ τοῖς ἔργοις αὐτοῦ.

Ὁ ἐπιβλέπων ἐπὶ τὴν γῆν, καὶ ποιῶν αὐτὴν τρέμειν· ὁ ἁπτόμενος τῶν ὀρέων, καὶ καπνίζονται.

Ἄσω τῷ Κυρίῳ ἐν τῇ ζωῇ μου, ψαλῶ τῷ Θεῷ μου ἕως ὑπάρχω.



Ἡδυνθείη αὐτῷ ἡ διαλογή μου, ἐγὼ δὲ εὐφρανθήσομαι ἐπὶ τῷ Κυρίῳ.

Ἐκλείποιεν ἁμαρτωλοὶ ἀπὸ τῆς γῆς, καὶ ἄνομοι, ὥστε μὴ ὑπάρχειν αὐτούς. Εὐλόγει, ἡ ψυχή μου, τὸν Κύριον.

*Καὶ πάλιν.*

Ὁ ἥλιος ἔγνω τὴν δύσιν αὐτοῦ· ἔθου σκότος, καὶ ἐγένετο νύξ. Ὡς ἐμεγαλύνθη τὰ ἔργα σου, Κύριε· πάντα ἐν σοφίᾳ ἐποίησας.

*Δόξα... Καὶ νῦν... Ἀλληλούϊα, (ἐκ γ').*

Μετὰ δὲ τὸ ἐνδιάτακτον Κάθισμα τοῦ Ψαλτηρίου, ἀρχόμεθα τοῦ, Κύριε ἐκέκραξα, εἰς τὸν τυχόντα Ἦχον.

### Ψαλμὸς ΡΜ' (140)

**Κύριε, ἐκέκραξα πρὸς σέ,** εἰσάκουσόν μου, εἰσάκουσόν μου, Κύριε. Κύριε, ἐκέκραξα πρὸς σέ, εἰσάκουσόν μου· πρόσχες τῇ φωνῇ τῆς δεήσεώς μου, ἐν τῷ κεκραγέναι με πρὸς σέ· εἰσάκουσόν μου, Κύριε.

**Κατευθυνθήτω ἡ προσευχή μου,** ὡς θυμίαμα ἐνώπιόν σου· ἔπαρσις τῶν χειρῶν μου θυσία ἑσπερινή· εἰσάκουσόν μου, Κύριε.

**Θοῦ, Κύριε,** φυλακὴν τῷ στόματί μου, καὶ θύραν περιοχῆς περὶ τὰ χείλη μου.

**Μὴ ἐκκλίνῃς** τὴν καρδίαν μου εἰς λόγους πονηρίας, τοῦ προφασίζεσθαι προφάσεις ἐν ἁμαρτίαις.

**Σὺν ἀνθρώποις** ἐργαζομένοις τὴν ἀνομίαν, καὶ οὐ μὴ συνδυάσω μετὰ τῶν ἐκλεκτῶν αὐτῶν.

**Παιδεύσει με** δίκαιος ἐν ἐλέει, καὶ ἐλέγξει με· ἔ-

www.tezaurliturgic.ro



λαιον δὲ ἁμαρτωλοῦ μὴ λιπανάτω τὴν κεφαλήν μου.

**Ὅτι ἔτι** καὶ ἡ προσευχή μου ἐν ταῖς εὐδοκίαις αὐτῶν· κατεπόθησαν ἐχόμενα πέτρας οἱ κριταὶ αὐτῶν.

**Ἀκούσονται** τὰ ῥήματά μου, ὅτι ἠδύνθησαν· ὡσεὶ πάχος γῆς ἐρράγη ἐπὶ τῆς γῆς, διεσκορπίσθη τὰ ὀστᾶ αὐτῶν παρὰ τὸν ᾅδην.

**Ὅτι πρὸς σέ,** Κύριε, Κύριε, οἱ ὀφθαλμοί μου· ἐπὶ σοὶ ἤλπισα, μὴ ἀντανέλῃς τὴν ψυχήν μου.

**Φύλαξόν με** ἀπὸ παγίδος, ἧς συνεστήσαντό μοι, καὶ ἀπὸ σκανδάλων τῶν ἐργαζομένων τὴν ἀνομίαν.

**Πεσοῦνται** ἐν ἀμφιβλήστρῳ αὐτῶν οἱ ἁμαρτωλοί, κατὰ μόνας εἰμὶ ἐγώ, ἕως ἂν παρέλθω.

**Φωνῇ μου** πρὸς Κύριον ἐκέκραξα, φωνῇ μου πρὸς Κύριον ἐδεήθην.

**Ἐκχεῶ** ἐνώπιον αὐτοῦ τὴν δέησίν μου, τὴν θλῖψίν μου ἐνώπιον αὐτοῦ ἀπαγγελῶ.

**Ἐν τῷ** ἐκλείπειν ἐξ ἐμοῦ τὸ πνεῦμα μου, καὶ σὺ ἔγνως τὰς τρίβους μου.

**Ἐν ὁδῷ** ταύτῃ, ᾗ ἐπορευόμην, ἔκρυψαν παγίδα μοι.

**Κατενόουν** εἰς τὰ δεξιά, καὶ ἐπέβλεπον, καὶ οὐκ ἦν ὁ ἐπιγινώσκων με.

**Ἀπώλετο** φυγὴ ἀπ᾿ ἐμοῦ, καὶ οὐκ ἔστιν ὁ ἐκζητῶν τὴν ψυχήν μου.

**Ἐκέκραξα** πρὸς σέ, Κύριε· εἶπα· Σὺ εἶ ἡ ἐλπίς μου, μερίς μου εἶ ἐν γῇ ζώντων.

**Πρόσχες** πρὸς τὴν δέησίν μου, ὅτι ἐταπεινώθην σφόδρα.

**Ῥῦσαί με** ἐκ τῶν καταδιωκόντων με, ὅτι ἐκραταιώθησαν ὑπὲρ ἐμέ.



*Εἰς Στίχους ι'.*

**Ἐξάγαγε,** ἐκ φυλακῆς τὴν ψυχήν μου, τοῦ ἐξομολογήσασθαι τῷ ὀνόματί σου.

**Ἐμὲ** ὑπομενοῦσι δίκαιοι, ἕως οὗ ἀνταποδῷς μοι.

*Εἰς Στίχους η'.*

**Ἐκ βαθέων** ἐκέκραξά σοι, Κύριε· Κύριε, εἰσάκουσον τῆς φωνῆς μου.

**Γενηθήτω** τὰ ὦτά σου προσέχοντα εἰς τὴν φωνὴν τῆς δεήσεώς μου.

*Ἦχος β'. Ὅτε ἐκ τοῦ ξύλου.*

**Ἐὰν ἀνομίας** παρατηρήσῃς, Κύριε, Κύριε, τίς ὑποστήσεται; ὅτι παρὰ σοὶ ὁ ἱλασμὸς ἐστίν.

**Πάλαι** ἐναθλήσας ἱερῶς, καὶ χερσὶ κτανθεὶς τῶν ἀνόμων, Ἐφραὶμ μακάριε, χρόνοις πλείστοις ἄγνωστος, ἐτέλεις Ἅγιε, ἀλλ᾿ ἀρτίως τὰ λείψανα, τὰ σὰ εὑρεθέντα, πᾶσιν ἐφανέρωσαν, τὴν πολιτείαν σου· ὅθεν ἐν τῇ τούτων εὑρέσει, χάριτος πολλῆς πληρωθέντος, ἑορτήν σοι ἄγομεν εὐφρόσυνον.

**Ἕνεκεν** τοῦ ὀνόματός σου ὑπέμεινά σε, Κύριε· ὑπέμεινεν ἡ ψυχή μου εἰς τὸν λόγον σου, ἤλπισεν ἡ ψυχή μου ἐπὶ τὸν Κύριον.

**Ὅτε** σοῦ τὰ ἅγια ὀστᾶ, Πάτερ τῇ ἁγίᾳ Μονῇ σου, ἀπεκαλύφθησαν, τότε ἐπευφράνθησαν, σεμναὶ Μονάστριαι, ἀσθενοῦντες ἰάθησαν, καὶ δαιμόνων σμῆνος, πόρρω ἀπελήλαται, τῇ τούτων χάριτι· σὺ γὰρ δοξασθεὶς ἐπαξίως, χεῖρα βοηθείας παρέχεις, τοῖς ἐξαιτουμένοις τὴν πρεσβείαν σου.

**Ἀπὸ φυλακῆς** πρωΐας μέχρι νυκτός, ἀπὸ φυλακῆς πρωΐας, ἐλπισάτω Ἰσραὴλ ἐπὶ τὸν Κύριον.

www.tezaurliturgic.ro



**Ὤφθης** ὡς ἠθέλησας σοφέ, καὶ τὴν σὴν ἐγνώρισας κλῆσιν, τοῖς ἀγνοοῦσιν ἡμῖν, καὶ πάντας ἐξέστησας, ταῖς ἐμφανείαις σου· ἐν νυκτὶ καὶ ἡμέρᾳ γάρ, κατ' ὄναρ καὶ ὕπαρ, ἐπιφαίνῃ Ἅγιε, διδοὺς τὰ κρείττονα· ὅθεν καὶ ἰάματα βλύζεις, καὶ πολλῶν κινδύνων ἐξαίρεις, τοὺς προσκαλουμένους σου τὸ ὄνομα.

Προσόμοια ἕτερα.

*Ἦχος δ'. Ὡς γενναῖον ἐν Μάρτυσι.*

**Ὅτι παρὰ** τῷ Κυρίῳ τὸ ἔλεος, καὶ πολλὴ παρ' αὐτῷ λύτρωσις· καὶ αὐτὸς λυτρώσεται τὸν Ἰσραὴλ ἐκ πασῶν τῶν ἀνομιῶν αὐτοῦ.

**Ὥσπερ** ἄνθη μυρίπνοα, τὰ σὰ τίμια λείψανα, ἐκ τῆς γῆς ἐφάνησαν θείῳ νεύματι, τὴν εὐφροσύνην τῆς χάριτος, ἡμῖν διαπνέοντα, καὶ θαυμάτων τὴν ὀσμήν, καὶ πιστῶν τὴν διάνοιαν, ἁγιάζοντα· διὰ τοῦτο Ἐφραὶμ Ὁσιομάρτυς, ἑορτάζομεν προφρόνως, τὴν ἱερὰν τούτων εὕρεσιν.

**Αἰνεῖτε** τὸν Κύριον, πάντα τὰ ἔθνη, ἐπαινέσατε αὐτόν, πάντες οἱ λαοί.

**Εὐφροσύνης** ὑπόθεσις, τοῖς πιστοῖς ὤφθη Ἅγιε, ἡ ἁγία εὕρεσις τῶν λειψάνων σου· ἔνθεν συρρέουσι πάντοθεν, πιστῶν τὰ συστήματα, τῇ Μονῇ σου τῇ σεπτῇ, καὶ ταχέως λαμβάνουσι τὰ αἰτήματα, ἐξαιρέτως οἱ νόσοις δὲ ποικίλαις, συνεχόμενοι ἰῶνται, τῇ σῇ Ἐφραὶμ θείᾳ χάριτι.

**Ὅτι ἐκραταιώθη** τὸ ἔλεος αὐτοῦ ἐφ' ἡμᾶς, καὶ ἡ ἀλήθεια τοῦ Κυρίου μένει εἰς τὸν αἰῶνα.

**Ὥσπερ** ἄστρον νεόφωτον, ἐκ τοῦ ὄρους ἀνέλαμψας, τῶν Ἀμώμων Ὅσιε θείῳ Πνεύματι, εἰ καὶ καλῶς πάλαι ἤθλησας, τῶν θείων λειψάνων σου, τῇ



ἐκφάνσει ἐκ τῆς γῆς, καὶ ἐκλάμπεις τοῖς ἅπασι χάριν ἄφθονον, ἐξαιρέτως δὲ ταύτην τὴν Μονήν σου, ἁγιάζεις καὶ εὐφραίνεις, Ἐφραὶμ ταῖς σαῖς ἀντιλήψεσι.

*Δόξα... Ἦχος πλ. β'.*

**Θαυμαστὸς** εἶ Κύριε ἐν τοῖς Ἁγίοις σου, ὡς ἔφη ὁ Προφήτης, ὁ δι' αὐτῶν δοξασθείς, καὶ δοξάσας αὐτοὺς τοῖς σοῖς χαρίσμασιν· ἰδοὺ γὰρ ὁ σὸς θεράπων Ἐφραίμ, ὁ ἐν ἀσκήσει εὐαρεστήσας σοι ἐν Ὄρει τῶν Ἀμώμων, καὶ βαρβαρικαῖς χερσίν, ὡς θῦμα θεῖον προσαχθείς σοι, δεδοξασμένος ἀναδείκνυται, μετὰ πολυετῆ κατάκρυψιν, ἐν τῇ ἀφθόνῳ δωρεᾷ τῆς δόξης σου· τούτου γὰρ τὰ θεῖα λείψανα, ηὐδόκησας φανῆναι ἡμῖν, καὶ δοθῆναι ἐκ γῆς, ὡς χρυσίον πολύτιμον, καὶ ἁγιασμὸν ψυχῆς καὶ σώματος. Ἀλλ' ὁ τὸν Ὁσιομάρτυρα μεγαλύνας καὶ τοῦτον ἡμῖν προστάτην ἀναδείξας, ταῖς αὐτοῦ πρεσβείαις, δίδου ἡμῖν ἀεὶ τὰ ἐλέη σου.

*Καὶ νῦν... Ὁ αὐτός. Προεόρτιον.*

Ἔρχεται πρὸς Ἰορδάνην, Χριστὸς ἡ ἀλήθεια, τοῦ βαπτισθῆναι ὑπὸ Ἰωάννου, καὶ φησὶ πρὸς αὐτόν· ἐγὼ ἔχω χρείαν ὑπὸ σοῦ βαπτισθῆναι, καὶ σὺ ἔρχῃ πρός με; οὐ τολμῶ ὁ χόρτος προσψαῦσαι τῷ πυρί.· σύ με ἁγίασον Δέσποτα, τῇ θείᾳ ἐπιφανείᾳ σου.

*Μετὰ τὴν εἴσοδον τὴν Ἐπιλύχνιον εὐχαριστίαν.*

Φῶς ἱλαρὸν ἁγίας δόξης, ἀθανάτου Πατρός, οὐρανίου, ἁγίου, μάκαρος, Ἰησοῦ Χριστέ, ἐλθόντες ἐπὶ τὴν ἡλίου δύσιν, ἰδόντες φῶς ἑσπερινόν, ὑμνοῦμεν Πατέρα, Υἱόν, καὶ ἅγιον Πνεῦμα Θεόν. Ἄξιόν

www.tezaurliturgic.ro



σε ἐν πᾶσι καιροῖς, ὑμνεῖσθαι φωναῖς αἰσίαις, Υἱὲ Θεοῦ, ζωὴν ὁ διδούς· Διὸ ὁ κόσμος σὲ δοξάζει.

Εἶτα τὸ προκείμενον τῆς ἡμέρας, καὶ τὰ Ἀναγνώσματα.

Σοφίας Σολομῶντος τὸ Ἀνάγνωσμα.
(Κεφ. γ'. 1).

Δικαίων ψυχαὶ ἐν χειρὶ Θεοῦ, καὶ οὐ μὴ ἅψηται αὐτῶν βάσανος. Ἔδοξαν ἐν ὀφθαλμοῖς ἀφρόνων τεθνάναι, καὶ ἐλογίσθη κάκωσις ἡ ἔξοδος αὐτῶν καὶ ἡ ἀφ' ἡμῶν πορεία σύντιμμα· οἱ δὲ εἰσὶν ἐν εἰρήνῃ. Καὶ γὰρ ἐν ὄψει ἀνθρώπων ἐὰν κολασθῶσιν, ἡ ἐλπὶς αὐτῶν ἀθανασίας πλήρης· καὶ ὀλίγα παιδευθέντες, μεγάλα εὐεργετηθήσονται, ὅτι ὁ Θεὸς ἐπείρασεν αὐτούς, καὶ εὗρεν αὐτοὺς ἀξίους ἑαυτοῦ. Ὡς χρυσὸν ἐν χωνευτηρίῳ ἐδοκίμασεν αὐτούς, καὶ ὡς ὁλοκάρπωμα θυσίας προσεδέξατο αὐτούς. Καὶ ἐν καιρῷ ἐπισκοπῆς αὐτῶν ἀναλάμψουσι, καὶ ὡς σπινθῆρες ἐν καλάμῃ διαδραμοῦνται· κρινοῦσιν ἔθνη, καὶ κρατήσουσι λαῶν, καὶ βασιλεύσει αὐτῶν Κύριος εἰς τοὺς αἰῶνας. Οἱ πεποιθότες ἐπ' αὐτῷ συνήσουσιν ἀλήθειαν, καὶ οἱ πιστοὶ ἐν ἀγάπῃ προσμενοῦσιν αὐτῷ· ὅτι χάρις καὶ ἔλεος ἐν τοῖς ὁσίοις αὐτοῦ, καὶ ἐπισκοπὴ ἐν τοῖς ἐκλεκτοῖς αὐτοῦ.

Σοφίας Σολομῶντος τὸ Ἀνάγνωσμα.
(Κεφ. Ε', 16 - Στ', 3)

Δίκαιοι εἰς τὸν αἰῶνα ζῶσι καὶ ἐν Κυρίῳ ὁ μισθὸς αὐτῶν, καὶ ἡ φροντὶς αὐτῶν παρὰ Ὑψίστῳ. Διὰ τοῦτο λήψονται τὸ βασίλειον τῆς εὐπρεπείας καὶ τὸ διάδημα τοῦ κάλλους ἐκ χειρὸς Κυρίου, ὅτι τῇ δεξιᾷ αὐτοῦ σκεπάσει αὐτοὺς καὶ τῷ βραχίονι ὑπερασπιεῖ αὐτῶν. Λήψεται πανοπλίαν τὸν ζῆλον αὐτοῦ καὶ ὁπλοποιήσει τὴν κτίσιν εἰς ἄμυναν ἐχθρῶν· ἐνδύσεται θώρακα δικαιοσύνην καὶ περιθήσεται κόρυθα κρίσιν ἀνυπόκριτον· λήψεται ἀσπίδα ἀκαταμάχητον ὁσιότητα, ὀξυνεῖ δὲ ἀπότομον ὀργὴν εἰς ρομφαίαν· συνεκπολεμήσει δὲ αὐτῷ ὁ κόσμος ἐπὶ τοὺς παράφρονας. Πορεύσονται εὔστοχοι βολίδες ἀστραπῶν, καὶ ὡς ἀπὸ εὐκύκλου τόξου τῶν νεφῶν ἐπὶ σκοπὸν ἁλοῦνται· καὶ ἐκ πετροβόλου θυμοῦ πλήρεις ριφήσονται χάλαζαι· ἀγανακτήσει κατ' αὐτῶν ὕδωρ θαλάσσης, ποταμοὶ δὲ συγκλύσουσιν ἀποτόμως· ἀντιστήσεται αὐτοῖς πνεῦμα δυνάμεως καὶ ὡς λαῖλαψ ἐκκλικμήσει αὐτούς· καὶ ἐρημώσει πᾶσαν τὴν γῆν ἀνομία καὶ ἡ κακοπραγία περιτρέψει θρόνους δυναστῶν. Ἀκούσατε οὖν, βασιλεῖς, καὶ σύνετε· μάθετε, δικασταὶ περάτων γῆς· ἐνωτίσασθε οἱ κρατοῦντες πλήθους καὶ γεγαυρωμένοι ἐπὶ ὄχλοις ἐθνῶν· ὅτι ἐδόθη παρὰ Κυρίου ἡ κράτησις ἡμῖν καὶ ἡ δυναστεία παρὰ Ὑψίστου.



Προφητείας Ἡσαΐου τὸ Ἀνάγνωσμα.
(Κεφ. μγ'. 9)

Τάδε λέγει Κύριος· Πάντα τὰ ἔθνη συνήχθησαν ἅμα, καὶ συναχθήσονται ἄρχοντες ἐξ αὐτῶν. Τίς ἀναγγελεῖ ταῦτα ἐν αὐτοῖς; ἢ τὰ ἐξ ἀρχῆς, τίς ἀκουστὰ ποιήσει ὑμῖν. Ἀγαγέτωσαν τοὺς μάρτυρας αὐτῶν, καὶ δικαιωθήτωσαν, καὶ εἰπάτωσαν ἀληθῆ. Γίνεσθέ μοι μάρτυρες, καὶ ἐγὼ μάρτυς Κύριος ὁ Θεός, καὶ παῖς, ὃν ἐξελεξάμην· ἵνα γνῶτε καὶ πιστεύσητε καὶ συνῆτε, ὅτι ἐγώ εἰμι. Ἔμπροσθέν μου οὐκ ἐγένετο ἄλλος Θεός, καὶ κατ' ἐμὲ οὐκ ἔσται. Ἐγώ εἰμι ὁ Θεὸς καὶ οὐκ ἔστι πάρεξ ἐμοῦ ὁ σώζων. Ἐγὼ ἀνήγ-

www.tezaurliturgic.ro



γειλα καὶ ἔσωσα, ὠνείδισα, καὶ οὐκ ἦν ἐν ὑμῖν ἀλλότριος. Ὑμεῖς ἐμοὶ μάρτυρες, καὶ ἐγὼ Κύριος ὁ Θεός· ὅτι ἀπ᾽ ἀρχῆς ἐγώ εἰμι, καὶ οὐκ ἔστιν ὁ ἐκ τῶν χειρῶν μου ἐξαιρούμενος. Ποιήσω, καὶ τίς ἀποστρέψει αὐτό; Οὕτω λέγει Κύριος ὁ Θεός, ὁ λυτρούμενος ἡμᾶς, ὁ Ἅγιος Ἰσραήλ.

Μετὰ τὰ ἀναγνώσματα τὴν Εὐχήν.

Καταξίωσον, Κύριε, ἐν τῇ ἑσπέρᾳ ταύτῃ ἀναμαρτήτους φυλαχθῆναι ἡμᾶς. Εὐλογητὸς εἶ, Κύριε, ὁ Θεὸς τῶν Πατέρων ἡμῶν, καὶ αἰνετὸν καὶ δεδοξασμένον τὸ ὄνομά σου εἰς τοὺς αἰῶνας. Ἀμήν. Γένοιτο, Κύριε, τὸ ἔλεός σου ἐφ᾽ ἡμᾶς, καθάπερ ἠλπίσαμεν ἐπὶ σέ. Εὐλογητὸς εἶ, Κύριε, δίδαξόν με τὰ δικαιώματά σου. Εὐλογητὸς εἶ, Δέσποτα, συνέτισόν με τὰ δικαιώματά σου. Εὐλογητὸς εἶ, Ἅγιε, φώτισόν με τοῖς δικαιώμασί σου. Κύριε, τὸ ἔλεός σου εἰς τὸν αἰῶνα· τὰ ἔργα τῶν χειρῶν σου μὴ παρίδῃς. Σοὶ πρέπει αἶνος, σοὶ πρέπει ὕμνος, σοὶ δόξα πρέπει, τῷ Πατρί, καὶ τῷ Υἱῷ, καὶ τῷ Ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Εἰς τὴν Λιτήν, **Ἰδιόμελα.**

*Ἦχος α΄.*

**Εὐφραίνεται ἐνθέως,** ἡ εὐαγής σου Μονή, λαμπρυνομένη τοῖς λειψάνοις σου, Ἐφραὶμ παμμακάριστε· ταύτην γὰρ πάλαι ἡγίασας, ἀσκητικοῖς ἱδρῶσι, καὶ αἵμασιν ἀθλητικοῖς, νῦν δὲ ταύτην μακαρίαν εἰργάσω, ἐν τῇ τούτων εὑρέσει· πᾶσαν γὰρ χάριν καρποῦται, ἐξ αὐτῶν προϊοῦσαν, ἐπισκιάσει τοῦ Παρακλήτου· ὅθεν χαριστήριον αἶνον σοι ᾄδουσα, εὐλαβῶς βοᾷ σοι· Ὁσιομάρτυς Χριστοῦ θαυματουργέ, σκέπε ἀεὶ ταύτην τὴν μερίδα σου, αἰτούμενος πᾶσι τὸ μέγα ἔλεος.



*Ἦχος β΄.*

**Τὸν τοῦ Κυρίου ζυγὸν ἀράμενος,** ἀσκητικὴν πολιτείαν ἤνυσας, ἐν ὄρει τῶν Ἀμώμων σκηνώσας, Ἐφραὶμ θείῳ ἔρωτι· καὶ τῷ Χριστῷ εὐρεστῶν, μαρτυρικῆς δόξης ἠξίωσαι, βαρβαρικὴν ὑποστὰς μανίαν· καὶ τοῖς ἀγγέλοις συνόμιλος πέλων, τοῖς ἀνθρώποις ἄγνωστος ἐτέλεις, καλυφθεὶς τῇ τοῦ χρόνου φθορᾷ, καὶ σιγῆς τῷ μοδίῳ· ἀλλ᾽ ἤδη χαρᾶς ἡμᾶς ἔπλησας, φανερώσας τὰ σεπτά σου ὀστᾶ, καὶ γνωσθεὶς τοῖς πᾶσι, τῇ τῶν θαυμάτων ἐνεργείᾳ· πᾶσι γὰρ παρέχεις, σωτηριώδεις δόσεις Ἅγιε.

*Ἦχος γ΄.*

**Μαρτυρικὴν ἀξίαν ἐκφαίνοντα,** ἐν μιμήσει τῶν στιγμάτων τοῦ Χριστοῦ, ἐκ γῆς ἡμῖν ἐφάνησαν, τὰ τίμιά σου λείψανα, Ὁσιομάρτυς Ἐφραὶμ μακάριε· ἧς γὰρ ἔτυχες εὐκλείας, ὡς ἐν ἐσόπτρῳ τὴν λαμπρότητα δείκνυνται· ὅθεν ὡς ἄλλον ἰατρεῖον, ἡ σορός σου πρόκειται, καὶ πᾶς προστρέχων αὐτῇ, ψυχῶν καὶ σωμάτων τὰ καταθύμια κομίζεται, καὶ ἡ σεπτή σου Μονή, ἀγαλλιᾶται τῇ δόξῃ σου. Ἀλλ᾽ ὡς ἔχων παρρησίαν, αἴτει ἡμῖν πταισμάτων ἄφεσιν, καὶ παθῶν πολυτρόπων ἀπολύτρωσιν.

*Ἦχος δ΄.*

**Θείῳ φωτὶ περιλαμπόμενος,** ποικίλοις τρόποις ἐπιφαίνῃ, εἰσηγούμενος τὰ δέοντα, καὶ ἐσφαλμένων ἠθῶν ἐξαίρων Πάτερ· πατρικῶς γὰρ περιέπεις, τὴν παροῦσαν ποίμνην σου, καὶ τοῖς μακρὰν βραβεύεις

www.tezaurliturgic.ro



αἰτημάτων χορηγίαν· ὡς γὰρ θείαν προσφοράν, τὸ σὸν αἷμα Χριστὸς δεξάμενος, ὁμόσκηνον Ἁγίων σε ἔδειξε, καὶ προστάτην ἡμῶν θερμότατον, καὶ μεσίτην ἀξιόθεον, τῇ αὐτοῦ χρηστότητι.

**Δόξα.** Ὁ αὐτός.

**Τὸν πάλαι ἐν ὄρει Ἀμώμων,** Χριστῷ εὐαρεστήσαντα, καὶ ἄρτι ἡμῖν γνωσθέντα, ἐν τῇ εὑρέσει τῶν θείων αὐτοῦ λειψάνων, Ἐφραὶμ τὸν ἐν Ὁσίοις Μάρτυρα, καὶ ἐν Ἀθληταῖς Ὅσιον, τῶν Ὀρθοδόξων τὰ συστήματα, ᾀσματικῶς τιμήσωμεν· ἐν ἀσκήσει γὰρ ὁσίᾳ, καὶ ἀθλητικῇ ἐνστάσει, θεοπρεπῶς ἠνδραγάθησε· καὶ ὁρατῶν καὶ ἀοράτων ἐχθρῶν, αἰσχύνας τὰς φάλαγγας, μαρτυρικῷ διαδήματι, τῇ τοῦ Κυρίου χειρὶ ἐστεφάνωται, καὶ πᾶσιν αἰτεῖται, εἰρήνην καὶ θεῖον ἔλεος.

**Καὶ νῦν.** Ὁ αὐτός. **Προεόρτιον.**

**Ὢ τοῦ παραδόξου θαύματος!** ὁ ἐν Πνεύματι Ἁγίῳ βαπτίζων καὶ πυρί, ἐν Ἰορδάνῃ ἔρχεται βαπτισθῆναι ὑπὸ Ἰωάννου· Θεὸς οὐ γυμνός, οὐδὲ ἄνθρωπος ψιλός, ἀλλ' ἐν δυσὶ ταῖς φύσεσιν, εἷς δὲ ὁ Υἱὸς μονογενής· ζητῶν μὲν τὸ βάπτισμα, ὡς ἄνθρωπος ἐκ θνητοῦ, αἴρων δὲ ὡς Θεός, τὴν ἁμαρτίαν τοῦ κόσμου, καὶ παρέχων πᾶσι, τὸ μέγα ἔλεος.

Εἰς Στίχον **Στιχηρὰ Προσόμοια.**
*Ἦχος πλ. α'. **Χαίροις ἀσκητικῶν.***

**Χαίροις ὁ ἐπ' ἐσχάτων γνωσθείς,** ἐν τῇ ἐκφάνσει τῶν ἁγίων λειψάνων σου, καὶ πᾶσαν ψυχὴν εὐφράνας, θαυματοφόρε Ἐφραίμ, τῇ σοὶ δεδομένῃ θείᾳ χάριτι· ἰάσεις παρέχεις γάρ, τοῖς ἐν πόνοις καὶ πάθεσι, συνεχομένοις, καὶ προφθάνεις ἑκάστοτε, τοὺς φωνοῦντάς σε, συμπαθεῖ ἐπισκέψει σου· ἴσος γὰρ πέλων Ἅγιε, Κυρίου τοῖς Μάρτυσι, τῆς τούτων θείας εὐκλείας, προσεφαπλοῖς τὰ δωρήματα, αἰτούμενος πᾶσιν, εὐρωστίαν καὶ εἰρήνην, καὶ μέγα ἔλεος.



*Στίχ. Τίμιος ἐναντίον Κυρίου ὁ θάνατος τοῦ Ὁσίου αὐτοῦ.*

**Χαίρει ἡ εὐαγής σου Μονή,** ἐν τῇ εὑρέσει τῶν τιμίων λειψάνων σου, καὶ ἄγει πανευφροσύνως, πνευματικὴν ἑορτήν, κηρύττουσα πᾶσι τὰ σὰ θαύματα· ἣν σκέπε καὶ φύλαττε, ἐκ δεινῶν περιστάσεων· σὲ γὰρ εὑροῦσα, ἀρραγέστασον στήριγμα, σπεύδει πάντοτε, τῇ πρεσβείᾳ σου κράζουσα· Σύ μου φύλαξ καὶ ἔφορος, Ἐφραὶμ θεοδόξαστε, μετὰ τῆς Ἀχράντου Κόρης· διὸ ἡμῖν δίδου Ἅγιε, Χριστοῦ ὡς θεράπων, τὴν εἰρήνην τοῖς αἰτοῦσι καὶ μέγα ἔλεος.

*Στίχ. Θαυμαστὸς ὁ Θεὸς ἐν τοῖς Ἁγίοις αὐτοῦ*

**Πάλαι τὴν τῶν βαρβάρων ὁρμήν,** ἀνδρειοφρόνως ὑποστὰς παναοίδιμε, μακάριον εὗρες τέλος, μαρτυρικῶς τὴν ὁδόν, τὴν σὴν περατώσας Ἐφραὶμ Ὅσιε· καὶ ταῦτα ἀγνώριστα, ἡμῖν πᾶσιν ἐτύγχανον, ἀλλ' ἤδη Πάτερ, τῇ ἐκφάνσει τοῦ σκήνους σου, γνωστὸς ἅπασι, καὶ περίβλεπτος γέγονας, θαύμασι δοξαζόμενος, καὶ ξένως φαινόμενος, καθ' ὕπαρ καὶ ἐν ὀνείροις, καὶ πᾶσι νέμων τὰ αἴσια. Καὶ νῦν ἐκδυσώπει, ταῖς ψυχαῖς ἡμῶν δοθῆναι, τὸ μέγα ἔλεος.

*Δόξα. Ἦχος πλ. δ'.*

**Ἀσκητικῇ γεωργίᾳ,** μαρτυρικοὺς ἐτρύγησας καρπούς, Ὅσιε Πάτερ, Ἐφραὶμ θεόληπτε· καὶ ἐν τῇ

www.tezaurliturgic.ro



ἀναδόσει, τῶν θείων λειψάνων σου, τὰς ἀγαθὰς διαδόσεις δίδως, τοῖς προσιοῦσι πιστῶς, τῇ σορῷ σου Ἅγιε· ἀνεκφοίτητος γὰρ ἐν ταύτῃ, ἡ χάρις τοῦ Πνεύματος, ἡ λαμπρῶς σε θαυμαστώσασα· Διὸ χάριν καὶ ἔλεος, αἴτει Ὁσιομάρτυς, τοῖς ἑορτάζουσι τὴν μνήμην σου.

**Καὶ νῦν.** Ὁ αὐτός. Προεόρτιον.

**Ἰωάννη Βαπτιστά,** ὁ ἐν μήτρᾳ με γνωρίσας τὸν ἀμνόν, ἐν ποταμῷ μοι διακόνησον, μετ' ἀγγέλων μοι λειτούργησον· ἐκτείνας ἅψαι τῇ παλάμῃ, τῆς κορυφῆς μου τῆς ἀχράντου· καὶ ὅταν ἴδῃς τὰ ὄρη τρέμοντα, καὶ τὸν Ἰορδάνην ἐπαναστρέφοντα, σὺν τούτοις βόησον· ὁ σαρκωθεὶς ἐκ Παρθένου, εἰς ἡμῶν σωτηρίαν, Κύριε δόξα σοι.

*Συμπληρωθέντων δὲ τῶν Ἀποστίχων, λέγομεν τὴν ᾠδὴν Συμεὼν τοῦ Θεοδόχου*
(Λουκ. β', 29).

Νῦν ἀπολύεις τὸν δοῦλόν σου, Δέσποτα, κατὰ τὸ ῥῆμά σου ἐν εἰρήνῃ· ὅτι εἶδον οἱ ὀφθαλμοί μου τὸ σωτήριόν σου, ὃ ἡτοίμασας κατὰ πρόσωπον πάντων τῶν λαῶν· φῶς εἰς ἀποκάλυψιν ἐθνῶν, καὶ δόξαν λαοῦ σου Ἰσραήλ.

Εἶτα τὸ τρισάγιον· Παναγία Τριάς· Πάτερ ἡμῶν· Ὅτι σοῦ ἐστιν ἡ Βασιλεία..., καὶ τὰ **Ἀπολυτίκια.**

*Ἦχος γ'.* ***Θείας πίστεως.***

**Χάριν εὕρατο,** ἐν τῇ εὑρέσει, τῶν λειψάνων σου, μυριπνόων, ἡ εὐαγής σου Μονὴ θείῳ Πνεύματι· ἁγιασμὸν γὰρ καὶ πλεῖστα ἰάματα, τοῖς εὐλαβῶς προσιοῦσι πηγάζουσιν. Ἐφραὶμ ἔνδοξε, Χριστὸν τὸν Θεὸν ἱκέτευε, δωρήσασθαι ἡμῖν τὸ μέγα ἔλεος.



*Ἕτερον. Ἦχος δ'.*
***Ταχὺ προκατάλαβε.***

**Τὴν χάριν ἐκφαίνοντα,** τήν σοι δοθεῖσαν σοφέ, τὰ θεῖα σου λείψανα, ἐκ τῶν λαγόνων τῆς γῆς, ἡμῖν ἄρτι ὤφθησαν. Ὅθεν ταῦτα πλουτοῦσα, ἡ ἁγία Μονή σου, στήριγμα σε κατέχει, καὶ θερμότατον πρέσβυν, Ἐφραὶμ Ὁσιομάρτυς· διὸ καὶ μεγαλύνει σε.

Καὶ τὸ Προεόρτιον.

**Ἑτοιμάζου Ζαβουλών,** καὶ εὐτρεπίζου Νεφθαλείμ, Ἰορδάνη ποταμέ, στῆθι ὑπόδεξαι σκιρτῶν, τοῦ βαπτισθῆναι ἐρχόμενον τὸν Δεσπότην. Ἀγάλλου ὁ Ἀδὰμ σὺν τῇ Προμήτορι· μὴ κρύπτετε ἑαυτούς, ὡς ἐν Παραδείσῳ τὸ πρίν· καὶ γὰρ γυμνοὺς ὑμᾶς ἰδὼν ἐπέφανεν, ἵνα ἐνδύσῃ τὴν πρώτην στολήν. Χριστὸς ἐφάνη, τὴν πᾶσαν κτίσιν, θέλων ἀνακαινίσαι.

**Ἀ π ό λ υ σ ι ς.**



www.tezaurliturgic.ro



*Τὸ ἱερὸν δένδρον ἐπὶ τοῦ ὁποίου μαρτυρικῶς πρὸς Θεὸν ἐξεδήμησεν ὁ Ἅγιος Ἐφραίμ.*



*Τὸ σωζόμενον δένδρον (μουριὰ) ὅπου ἐμαρτύρησεν ὁ Ἅγιος Ἐφραὶμ ὁ θαυματουργός.*

## ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ.

Μετὰ τὴν α' Στιχολογίαν, Κάθισμα.
*Ἦχος α'.*
***Τὸν τάφον σου Σωτήρ.***

**Ἀνέτειλας ἡμῖν**, ὡς νεόφωτον ἄστρον, τὰ θεῖα σου ὀστᾶ, ἐκ τῆς γῆς φανερώσας· διὸ τὴν τούτων εὕρεσιν, ἑορτάζοντες Ἅγιε, μεγαλύνομεν, Χριστὸν τὸν πάντων Σωτῆρα, τὸν δωρούμενον, ταῖς ἱκεσίαις σου Πάτερ, ἡμῖν θεῖον ἔλεος.

Προεόρτιον, ὅμοιον.

**Προέρχεται Χριστός**, ἐν μορφῇ τῇ βροτείᾳ, ἐν ρείθροις ποταμοῦ, Ἰορδάνου δεχθῆναι, τὸ βάπτισμα ὡς ἄνθρωπος, ἐκκαθαίρων τὸν ἄνθρωπον, ᾧ ὁ Πρόδρομος, φόβῳ πολλῷ συναντήσει. Τούτῳ ἅπαντες, προεορτίους αἰνέσεις, γηθόμενοι μέλψωμεν.

Μετὰ τὴν β' Στιχολογίαν, Κάθισμα.
*Ἦχος δ'.*
***Ταχὺ προκατάλαβε.***

**Φανεὶς ἀπεκάλυψας**, τοῖς ἀγνοοῦσιν ἡμῖν, τὸ θεῖον σου ὄνομα, καὶ πολιτείαν τῆς σῆς, τὸ τέλος τὸ ἅγιον· ἔνθεν πᾶσιν ἐγνώσθης, τοῖς πολλοῖς θαύμασί σου· νόσους γὰρ θεραπεύεις, καὶ κινδύνων ἐξαίρεις, Ἐφραὶμ ὁσιομάρτυς τοὺς σοὶ προστρέχοντας.

www.tezaurliturgic.ro



Προεόρτιον. Ὅμοιον.

**Ἐκπλῦναι ὁ Κύριος,** τὸν μολυσμὸν τοῦ Ἀδάμ, ὡς ἄνθρωπος ἔρχεται, ἐν ρείθροις τοῦ ποταμοῦ, πλουσίᾳ χρηστότητι. Τούτῳ οὖν συνειδότι, καθαρᾷ καὶ καρδίᾳ, σπεύσωμεν ἐν εὐθείᾳ, ὑπαντῆσαι βοῶντες· Εὐλογημένος εἶ Σωτήρ, ὁ ἐλθὼν σῶσαι τὸν κόσμον σου.

Μετὰ τὸν Πολυέλεον, Κάθισμα.

*Ἦχος δ'.*

*Ὁ ὑψωθεὶς ἐν τῷ Σταυρῷ.*

**Ἐπιστασίαις σου ταῖς θείαις** θεόφρον, καὶ ξενοτρόποις ἀληθῶς ἐμφανείαις, πᾶσι παρέχεις χάριν τὴν σωτήριον· ὅθεν τὴν ἁγίαν σου ἑορτάζομεν μνήμην, καὶ περικυκλοῦμέν σου, τῶν λειψάνων τὴν θήκην, ἐξ ἧς πηγάζει πᾶσι μυστικῶς, ἴαμα θεῖον, ψυχῆς τε καὶ σώματος.

Προεόρτιον, ὅμοιον.

**Ἐπιφανεὶς μετὰ σαρκὸς** ὁ Δεσπότης, νῦν ἐπιβῆναι Ἰορδάνου τοῖς ρείθροις, δι' εὐσπλαχνίαν σπεύδει ἀκατάληπτον, ὡς ἂν φῶς καὶ ἄφεσιν, καὶ ζωὴν καὶ εἰρήνην, χορηγήσῃ ἅπασι, τοῖς ἐχθρῷ ὑπαχθεῖσι· δεῦτε τὴν τούτου πάντες εὐλαβῶς δοξολογήσωμεν, ἄφατον κένωσιν.

Τὸ α'. ἀντίφωνον τοῦ δ'. ἤχου καὶ τὸ Προκείμενον.
Τίμιος ἐναντίον Κυρίου ὁ θάνατος τοῦ Ὁσίου αὐτοῦ.
Στίχ. Θαυμαστὸς ὁ Θεὸς ἐν τοῖς Ἁγίοις αὐτοῦ.
Εὐαγγέλιον τὸ ἐν τῷ ὄρθρῳ τοῦ Ἁγ. Ἀντωνίου.
Ὁ Ν'. Δόξα. Ταῖς τοῦ σοῦ Ὁσίου πρεσβείαις, Ἐλεῆμον, ἐξάλειψον τὰ πλήθη, τῶν ἐμῶν ἐγκλημάτων.
Καὶ νῦν. Ταῖς τῆς Θεοτόκου πρεσβείαις, Ἐλεῆμον, ἐξάλειψον τὰ πλήθη τῶν ἐμῶν ἐγκλημάτων.



*Ἰδιόμελον. Ἦχος πλ. β'.*

Στίχ. Ἐλεῆμον, ἐλέησόν με ὁ Θεός, κατὰ τὸ μέγα ἔλεός Σου καὶ κατὰ τὸ πλῆθος τῶν οἰκτιρμῶν Σου ἐξάλειψον τὸ ἀνόμημά μου.

**Ἀθλητικῆς ἐπιτυχῶν λαμπρότητος,** ἁγιαστικὴν πηγάζεις χάριν, ἐκ τῶν θείων λειψάνων σου, Ἐφραὶμ παμμακάριστε· ταῦτα γὰρ ἡμῖν ἐγνώσθησαν, μετὰ πολλῶν ἐτῶν περιόδους, τῇ θείᾳ εὐδοκίᾳ, ἀναζωγραφοῦντα τὴν τῶν Ἁγίων δόξαν· φυλάσσει γὰρ Κύριος τὰ ὀστᾶ τῶν Ὁσίων αὐτοῦ, δωρούμενος ἡμῖν δι' αὐτῶν, πταισμάτων ἄφεσιν.

Σῶσον ὁ Θεὸς τὸν Λαόν σου...
Εἶτα οἱ κανόνες, ὁ Προεόρτιος καὶ τοῦ Ἁγίου

**Κανὼν Προεόρτιος**

*Ὠδὴ α'. Ἦχος δ'. Ὁ Εἱρμός.*

*Ἀνοίξω τὸ στόμα μου, καὶ πληρωθήσεται Πνεύματος, καὶ λόγον ἐρεύξομαι, τῇ βασιλίδι Μητρί, καὶ ὀφθήσομαι, φαιδρῶς πανηγυρίζων, καὶ ᾄσω γηθόμενος, ταύτης τὰ θαύματα.*

**Ἀβύσσους** προστάγματι, δημιουργήσας Φιλάνθρωπε, τὴν γῆν ὁ τοῖς ὕδασι, κρεμάσας Κύριε, ταπεινούμενος, προέρχῃ βαπτισθῆναι, ποταμίοις ρεύμασι, πλύνων τὸν ρύπον μου.

**Βουλήσει** ἐπτώχευσας, τὸν ἑκουσίως πτωχεύσαντα, κακῶν ἐπιδόσεσιν, ἐμὲ πλουτίζων Χριστέ· καὶ ἐν ὕδασι, προέρχῃ Ἰορδάνου, βάπτισμα αἰτούμενος, ὁ ἀναμάρτητος.

**Γηράσαντα** πταίσμασι, κόσμον καινίζων Φιλάνθρωπε, ξένην ἀναγέννησιν, ἔρχῃ ποιήσασθαι, διὰ ὕ-

www.tezaurliturgic.ro



δατος, καὶ Πνεύματος ἀνθρώποις· ὅθεν ἑορτάζομεν, ὅθεν ἑορτάζομεν, σὴν ἐπιφάνειαν.

**Δαβὶδ θείῳ** Πνεύματι, προκελαδῶν ἀπεφθέγξατο· Τί σοι ἔστι θάλασσα, ὅτι νῦν ἔφυγες; καὶ τί ὅτι σύ, ἐστράφης Ἰορδάνη, Χριστὸν θεασάμενος, γυμνὸν ἐστῶτα ἐν σοί;

**Κανὼν τοῦ Ἁγίου**, οὗ ἡ ἀκροστιχίς.

«Τὴν σὴν εὕρεσιν Ἐφραὶμ ὑμνέω. Γερασίμου».

*Ἦχος δ'. Εἱρμὸς ὁ αὐτός.*

**Τῷ φέγγει** τῆς χάριτος, καταλαμπόμενος Ὅσιε, τὸν νοῦν μου καταύγασον, Ἐφραὶμ μακάριε, τῶν λειψάνων σου, τὴν εὕρεσιν ὑμνῆσαι, δι᾿ ἧς γνωστὸς γέγονας, Πάτερ τοῖς πέρασι.

**Ἡγίασε** Κύριος, τὴν εὐθυτάτην καρδίαν σου· αὐτῷ γὰρ μακάριε, ἀπὸ νεότητος, ἠκολούθησας, ἐν ὄρει τῶν Ἀμώμων, βιώσας ὡς ἄγγελος, βίου λαμπρότητι.

**Νεκρώσας** τὸν δόλιον, ἀσκητικοῖς ἀγωνίσμασιν, ὑπέστης μακάριε, Ἀγαρηνῶν τὴν ὁρμήν· νῦν δὲ δέδωκας, ἡμῖν τὰ λείψανά σου, μετὰ πολυχρόνιον, Ἐφραὶμ κατάκρυψιν.

Θεοτοκίον.

**Στερρῶς** ἠγωνίσατο, ἐν τῇ Μονῇ σου Πανάχραντε, Ἐφραὶμ ὁ θεράπων σου, ἐνθέῳ ἔρωτι, καὶ κατηύφρανεν, ἡμᾶς τοὺς σοὺς οἰκέτας, διδοὺς οἷον δώρημα, αὐτοῦ τὰ λείψανα.

**Καταβασία.**

***Βυθοῦ ἀνεκάλυψε πυθμένα, καὶ διὰ ξηρᾶς οἰκείους ἕλκει, ἐν αὐτῷ κατακαλύψας ἀντιπάλους, ὁ κραταιὸς ἐν πολέμοις Κύριος· ὅτι δεδόξασται.***



*Ὠδὴ γ'. Ὁ Εἱρμός.*

*Τοὺς σοὺς ὑμνολόγους Θεοτόκε, ὡς ζῶσα καὶ ἄφθονος πηγή, θίασον συγκροτήσαντας, πνευματικὸν στερέωσον· καὶ ἐν τῇ θείᾳ δόξῃ σου, στεφάνων δόξης ἀξίωσον.*

**Εὐφράνθητι** ἔρημος διψῶσα, βροτῶν φύσις ἅπασα ἰδού, τὸ ὕδωρ ἐπιφαίνεται, τὸ τῆς ζωῆς ἀρδεῦόν σε, γονιμωτάτως χάριτι, Χριστὸς ἡ πάντων ἀνάπλασις. *(Δίς).*

**Ζητῆσαι** με γνώμῃ πλανηθέντα, προέρχῃ ἐν ὕδασι Χριστέ, ἐν οἷς καταδυόμενος, βυθίζεις μου τὰ πταίσματα, καὶ ἐκ βυθοῦ ἀνάγεις με, πάσης κακίας ὡς εὔσπλαχνος.

**Ἥλιος** ὁρᾶν σε μέλλων Λόγε, γυμνούμενον κρύπτει τὰς αὐγάς· ἔρχῃ γὰρ γυμνωθέντα με, ἀπάτῃ τῇ τοῦ ὄφεως, διὰ τοῦ σοῦ βαπτίσματος, στολὴν ἐνδύσαι σωτήριον.

Τοῦ Ἁγίου. Ὁ αὐτός.

**Ἤνεγκας** τὸν θάνατον ἀνδρείως, χειρὶ τῶν βαρβάρων ἀπηνῶς, καὶ ὑπὸ γῆν τὸ σῶμα σου, χρόνοις πολλοῖς διέμεινεν, ἄρτι δὲ πεφανέρωται, ἡμῖν πηγάζον ἰάματα.

**Νοσήματα** παύεις θεοφόρε, καὶ πόνους ἰᾶσαι χαλεπούς, τῶν τοῖς σεπτοῖς λειψάνοις σου, προσερχομένων πάντοτε, εὐφραίνων τὰς ψυχὰς ἡμῶν, Ἐφραὶμ ταῖς σαῖς ἐπισκέψεσι.

**Ἐφάνησαν** Πάτερ τὰ ὀστᾶ σου, ὡς κρίνα ἀγροῦ ἐαρινά, τὰ κεκρυμμένα πρότερον, καὶ ἄγνωστα τοῖς ἅπασι, καὶ τὴν Μονήν σου Ἅγιε, περιφανῶς ἁγιάζουσι.

www.tezaurliturgic.ro



Θεοτοκίον.

**Ὑπάρχων** φωτὸς ἀΰλου πλήρης, ὁ Ὅσιος Ἄχραντε Ἐφραίμ, Μαρτύρων ὤφθη σύναθλος, ἀθλήσας ἐννομώτατα, οὗ ταῖς πρεσβείαις φύλαττε, τὴν δὲ Παρθένε τὴν Μάνδραν σου.

**Καταβασία.**

*Ἰσχὺν ὁ διδούς, τοῖς βασιλεῦσιν ἡμῶν Κύριος, καὶ κέρας χρηστῶν αὐτοῦ ὑψῶν, Παρθένου ἀποτίκτεται, μολεῖ δὲ πρὸς τὸ Βάπτισμα διὸ πιστοὶ βοήσωμεν. Οὐκ ἔστιν ἅγιος, ὡς ὁ Θεὸς ἡμῶν, καὶ οὐκ ἔστι δίκαιος πλήν σου Κύριε.*

**Κάθισμα.**
*Ἦχος πλ. α'.*
**Τὸν συνάναρχον Λόγον.**

**Τῶν σεπτῶν** σου λειψάνων τὴν θείαν εὕρεσιν, ἑορτάζοντες Πάτερ ἐν εὐφροσύνῃ ψυχῆς, μακαρίζομεν Ἐφραὶμ τὴν πολιτείαν σου· ὅτι ἠγώνισαι καλῶς, καὶ καθεῖλες τὸν ἐχθρόν, ἐν ὄρει τῷ τῶν Ἀμώμων· νῦν δὲ πηγάζεις τοῖς πᾶσι, χάριν καὶ ἔλεος πρεσβείαις σου.

**Προεόρτιον**, ὅμοιον.

**Ἰορδάνου** τοῖς ῥείθροις ἤδη προέρχεται, ὁ σαρκωθεὶς ἐκ Παρθένου εἰς σωτηρίαν ἡμῶν, ἵνα πλύνῃ τὸν Ἀδὰμ τῆς πάλαι πτώσεως· ὑπαντήσωμεν αὐτῷ, προεόρτιον ᾠδήν, προσᾴδοντες καὶ βοῶντες, δόξα τῇ σῇ εὐσπλαγχνίᾳ, Χριστὲ οἰκτίρμον καὶ Φιλάνθρωπε.

*Ὠδὴ δ'. Ὁ Εἱρμός.*

*Τὴν ἀνεξιχνίαστον θείαν βουλήν, τῆς ἐκ τῆς Παρθένου σαρκώσεως, σοῦ τοῦ Ὑψίστου, ὁ Προφήτης Ἀββακούμ, κατανοῶν ἐκραύγαζε· Δόξα τῇ δυνάμει σου Κύριε.*(Δίς).



**Θάμβει** συσχεθήσεται ὁ οὐρανός, καὶ τὰ τῶν Ἀγγέλων στρατεύματα, δουλοπρεπῶς σε, ἀφικνούμενον Χριστέ, πρὸς τὸν σὸν δοῦλον βλέποντες, καὶ ἐπιζητοῦντα τὸ βάπτισμα.

**Ἰωάννη** σκίρτησον· ἔρχεται γάρ, πάντας ὁ λυτρούμενος Κύριος, ὑποκλιθῆναι τῇ χειρί σου ταπεινῶς, ὅπως ταπεινωθέντα με, θείῳ ἀνυψώσῃ βαπτίσματι.

**Κλίνας** καταβέβηκας τοὺς οὐρανούς, ἐπὶ τὴν Παρθένον Φιλάνθρωπε, καὶ Ἰωάννῃ, ὑποκλίνας κορυφήν, ἐπιζητῶν τὸ Βάπτισμα· δόξα τῇ πολλῇ εὐσπλαχνίᾳ σου.

**Λύων** τὰς ἀμέτρους μου Λόγε σειράς, τῶν ἁμαρτημάτων ἐν ὕδασι, τοῦ Ἰορδάνου, ἐπισπεύδεις προσελθεῖν, καὶ βαπτισθῆναι Δέσποτα· δόξα τῇ πολλῇ εὐσπλαχνίᾳ σου.

**Τοῦ Ἁγίου. Ὁ καθήμενος ἐν δόξῃ.**

**Ῥώμῃ** θείᾳ ἠγωνίσω, κατὰ τοῦ πολεμήτορος, ἐν Ὄρει Ἀμώμων, Πάτερ ἀνενδότῳ φρονήματι· νῦν δὲ ἡμᾶς καταπλήττεις τῇ σῇ χάριτι, φανερώσας σου, τὰ χαριτόβρυτα λείψανα.

**Ἐν νυκτὶ** καὶ ἐν ἡμέρᾳ, θεοφόρε φαινόμενος, καθ' ὕπαρ καὶ ὄναρ, πᾶσιν ὑπεμφαίνεις τὴν δόξαν σου, καὶ ταῖς σεπταῖς ἐμφανείαις σου μακάριε, τῆς σῆς χάριτος, πληροῖς Ἐφραὶμ τήν δε Μάνδραν σου.

**Σὲ θερμότατον** προστάτην, ἡ Μονὴ αὕτη Ἅγιε,

www.tezaurliturgic.ro



ἐν ᾗ ἠγωνίσω, ἔνθα καὶ τὰ θεῖά σου λείψανα, Ἐφραὶμ παμμάκαρ εὑροῦσα πίστει κράζει σοι· Σκέπε Ἅγιε ἡμᾶς ἐκ πάσης στενώσεως.

Θεοτοκίον.

**Ἰσχυρῶς** ἐν τῇ Μονῇ σου, ἀντετάξατο Πάναγνε, θεολήπτῳ γνώμῃ, κατὰ τῶν ἐχθρῶν ὁ θεράπων σου, καὶ παρ᾽ αὐτῶν εὑρὼν θάνατον ἐπώδυνον, τὴν ἀθάνατον, ζωὴν τανῦν ἐκληρώσατο.

**Καταβασία.**

***Ἀκήκοε Κύριε φωνῆς σου, ὃν εἶπας Φωνὴ βοῶντος ἐν ἐρήμῳ, ὅτε ἐβρόντησας πολλῶν ἐπὶ ὑδάτων, τῷ σῷ μαρτυρούμενος Υἱῷ· ὅλος γεγονὼς τοῦ παρόντος Πνεύματος δὲ ἐβόησε· Σὺ εἶ Χριστός, Θεοῦ Σοφία καὶ Δύναμις.***

*Ὠδὴ ε΄. Ὁ Εἱρμός.*

*Ἐξέστη τὰ σύμπαντα, ἐπὶ τῇ θείᾳ δόξῃ σου· σὺ γὰρ Ἀπειρόγαμε Παρθένε, ἔσχες ἐν μήτρᾳ τὸν ἐπὶ πάντων Θεόν, καὶ τέτοκας ἄχρονον Υἱόν, πᾶσι τοῖς ὑμνοῦσι σε, σωτηρίαν βραβεύοντα.*(Δίς).

**Μακρὰν** τὸ ἀνθρώπινον, ἀπὸ Θεοῦ γενόμενον, ὁ Λόγος Θεοῦ κατοικτειρήσας, ἄνθρωπος ὤφθη καὶ βαπτισμῷ θεουργῷ, τοῦτο οἰκειοῖ θεοπρεπῶς, καὶ πρὸς τὸ ἀρχέτυπον, ἐπανάγει ἀξίωμα.*(Δίς).*

**Νεκροὺς** χρηματίσαντας, ἡμᾶς ταῖς παραβάσεσιν, ἔρχῃ Ζωοδότα Πανοικτίρμον, ἀναζῶσαι ταῖς Ἰορδάνου ροαῖς· ὅθεν σου δοξάζομεν πιστῶς, νῦν τὴν ἐπιφάνειαν, καὶ τὸ ἄφατον ἔλεος.

**Ξενίζεται** ἅπασα, ψυχὴ ἐννοουμένη σου, Λόγε τὴν φρικτὴν οἰκονομίαν· πῶς ἀναπλάσαι πάντας



βουλόμενος, ἔρχῃ ἐπιβῆναι ποταμοῦ, ρεύμασι γυμνούμενος, ὁ φῶς ἀναβαλλόμενος.

Τοῦ Ἁγίου. Ὁ αὐτός.

**Ναῷ τῷ** τῆς Μάνδρας σου, ὑπερφυῶς ὁρώμενος, τοῖς κεκαθαρμένοις τῇ καρδίᾳ, Ἐφραὶμ παρέχεις χαρὰν οὐράνιον, καὶ τριγμῷ τῶν θείων σου ὀστῶν, φανεροῖς τρανώτατα, τὴν σεπτὴν παρουσίαν σου.

**Εὐφράνθη** τῷ πνεύματι, ἡ εὐλαβὴς Μονάστρια, ὅτε σου τὰ ἅγια ὀστέα, εὐωδιάζοντα Πάτερ εὕρηκεν, ὑπὸ ἐρειπίων τὸν σωρόν, μαρτυροῦντα Ἅγιε, τὸ φρικτόν σου μαρτύριον.

**Φανεὶς** ταύτῃ Ἅγιε, μετὰ τὴν ἀποκάλυψιν, ὀφθαλμοφανῶς ἐν ἐγρηγόρσει, τὸ ὄνομά σου σαφῶς ἐδήλωσας, καὶ τὴν τελετήν σου τὴν σεπτήν, ἣν χεῖρές σοι φόνιοι, θεοφόρε ἐπήγαγον.

Θεοτοκίον.

**Ρεόντων** τὰ ἄρρευστα, σοφῶς ἀνταλλαξάμενος, Ἐφραὶμ ὁ στερρὸς Ὁσιομάρτυς, ἐν τῇ Μονῇ σου Ἁγνὴ ἠρίστευσε, καὶ διπλοῖς στεφάνοις ἐκ Θεοῦ, μυστικῶς κεκόσμηται, Θεοτόκε Πανάχραντε.

**Καταβασία.**

***Ἰησοῦς ὁ ζωῆς ἀρχηγός, λῦσαι τὸ κατάκριμα ἥκει, Ἀδὰμ τοῦ πρωτοπλάστου· καθαρσίων δέ, ὡς Θεὸς μὴ δεόμενος, τῷ πεσόντι καθαίρεται ἐν τῷ Ἰορδάνῃ· ἐν ᾧ τὴν ἔχθραν κτείνας, ὑπερέχουσαν, πάντα νοῦν εἰρήνην χαρίζεται.***

*Ὠδὴ στ΄. Ὁ Εἱρμός.*

*Τὴν θείαν ταύτην καὶ πάντιμον τελοῦντες ἑορτὴν*

www.tezaurliturgic.ro



*οἱ θεόφρονες, τῆς Θεομήτορος, δεῦτε τὰς χεῖρας κροτήσωμεν, τὸν ἐξ αὐτῆς τεχθέντα, Θεὸν δοξάζοντες.*(Δίς).

**Οἱ σκότει** πάλαι καθήμενοι, τὸ φῶς ἐπιδημῆσαν θεώμενοι, χαρᾶς ἐπλήσθητε· ἰδοὺ ἐπέφανε Κύριος, τὰ Ἰορδάνου ρεῖθρα, περιβαλλόμενος. *(Δίς).*

**Πῶς βλέψει** σε ἀφικόμενον, ὁ Πρόδρομος Σωτὴρ καὶ αἰτούμενον, τὸ θεῖον βάπτισμα; πῶς σε ροαὶ ὑποδέξονται, τοῦ Ἰορδάνου ρεῖθρον, ὄντα ἀφέσεως;

**Ρανάτωσαν** εὐφραινόμεναι, νεφέλαι νοητὴν ἀγαλλίασιν· ἰδοὺ ἀφίκετο, τοῦ βαπτισθῆναι ὁ Κύριος, διασκεδάζων νέφη, τῶν καρδιῶν ἡμῶν.

Τοῦ Ἁγίου. Ὁ αὐτός.

**Ἀπὸ τῆς γῆς** ἡμῖν ὤφθησαν, τὰ πᾶσιν ἀγνοούμενα πρότερον, σεπτά σου λείψανα, ὑπὲρ χρυσίον πολύτιμον, Ἐφραὶμ Ὁσιομάρτυς, ἡμᾶς εὐφραίνοντα.

**Ἰάσεις** βλύζων τοῖς χρήζουσιν, ἴασαι παραλύτους καὶ πάσχοντας, Ἐφραὶμ μακάριε, καὶ πᾶσαν ἄλλην ἀσθένειαν, τῇ σοὶ παρὰ Κυρίου, δοθείσῃ χάριτι.

**Μέγας προστάτης** καὶ πρόβολος, ὑπάρχεις τῆς Μονῆς σου μακάριε, τῆς ὡς θησαύρισμα, πολυτελὲς καὶ ἁγίασμα, τὴν ἱερὰν σορόν σου, ἐχούσης Ἅγιε.

Θεοτοκίον.

**Ὕμνοις** σχολάζων Πανύμνητε, καὶ πάσαις τῶν καλῶν ἐπιδόσεσι, Ἐφραὶμ ὁ Ὅσιος, ἐν τῇ Μονῇ σου ὑπέμεινε, βαρβαρικῆς μανίας, τὴν πικρὰν ἔφοδον.



**Καταβασία.**

***Ἡ φωνὴ τοῦ Λόγου, ὁ λύχνος τοῦ Φωτὸς ὁ ἑωσφόρος, ὁ τοῦ Ἡλίου Πρόδρομος, ἐν τῇ ἐρήμῳ μετανοεῖτε, πᾶσι βοᾷ τοῖς λαοῖς, καὶ προκαθαίρεσθε· ἰδοὺ γὰρ πάρεστι Χριστός, ἐκ φθορᾶς τὸν κόσμον λυτρούμενος.***

***Κοντάκιον.***

*Ἦχος δ'. Ἐπεφάνης σήμερον.*

**Ὡς ἀστὴρ** νεόφωτος ἡμῖν ἐφάνης, φανερώσας Ἅγιε, τὰ λείψανά σου τὰ σεπτά, ὑπὸ τὴν γῆν ὄντα πρότερον, Ὁσιομάρτυς Ἐφραὶμ παμμακάριστε.

*Ὁ Οἶκος.*

**Εὐφροσύνης** πρόξενος ἡμῖν, ἐδείχθη θεοφόρε, ἡ ἀποκάλυψις τανῦν, τῶν ἱερῶν ὀστῶν σου· ταῦτα γὰρ ὄντα ὑπὸ γῆν, χρόνων πολλῶν περιόδοις, ἐφανέρωσας αὐτά, τῇ εὐλαβεῖ Μοναστρίᾳ, καταπληττομένῃ τῇ σῇ χάριτι, καὶ τῇ τούτων οὐρανίῳ, καὶ θείᾳ εὐωδίᾳ· καὶ ταύτῃ ἐπιφανείς, τὴν ἄγνωστόν σου κλῆσιν ἐγνώρισας, καὶ τὸ τῆς ὁσίας σου ζωῆς μακάριον τέλος εἶπας. Διὸ πνευματικὴν συστησάμενοι ἑορτήν, μακαρίζομέν σε ὡς Ὅσιον Κυρίου, καὶ Μάρτυρα σεπτόν, καὶ ἀρετῶν δοχεῖον, καὶ τῆς Μονῆς σου ταύτης θερμότατον προστάτην, καὶ στῦλον ἀκατάσειστον, καὶ λύχνον φαεσφόρον, δαδουχοῦντα πάσῃ τῇ Ἀττικῇ τὰ ἰάματα, καὶ πάντας διεγείροντα εἰς αἶνον καὶ δόξαν Κυρίου, τοῦ σὲ λαμπρῶς δοξάσαντος, Μεγαλομάρτυς παμμακάριστε.

**Συναξάριον.**

**Τῇ γ' τοῦ αὐτοῦ μηνός, μνήμη τῆς εὑρέσεως τῶν**

www.tezaurliturgic.ro



**τιμίων λειψάνων τοῦ Ἁγίου ἐνδόξου Ὁσιομάρτυρος Ἐφραὶμ τοῦ νεοφανοῦς, ἀσκήσαντος καὶ μαρτυρικῶς τελειωθέντος ἐν τῇ Ἱερᾷ Μονῇ τῆς Ὑπεραγίας Θεοτόκου κειμένῃ ἐν τῷ παρὰ τὴν Ἀττικὴν ὄρει τῶν Ἀμώμων, κατὰ τὰς ἀρχὰς τοῦ ιε' αἰῶνος. Ἡ δὲ εὕρεσις τούτων ἐγένετο τῇ γ' Ἰανουαρίου τοῦ σωτηρίου ἔτους 1950.**

*Στίχ. Ὡς ἄνθη ἐφάνησαν Ἐφραὶμ παμμάκαρ*
*Ἐκ γῆς τὰ σὰ λείψανα τῇ δὲ Μονῇ σου.*
*Τριτάτῃ γῆθεν Ἐφραὶμ φαάνθησαν ὀστέα σεπτά.*

**Οὗτος ὁ μακάριος** ἠγωνίσατο κατὰ τὸν ιε' αἰῶνα, ἀρνησάμενος κόσμον ἐκ νεαρᾶς ἡλικίας, καὶ γενόμενος μοναχὸς ἐν τῇ Ἱερᾷ Μονῇ τῆς Ὑπεραγίας Θεοτόκου καὶ Ἁγίας Παρασκευῆς, τῇ εὑρισκομένῃ ἐν τῷ παρὰ τὴν Ἀττικὴν ὄρει τῷ λεγομένῳ τῶν Ἀμώμων. Ἐν ταύτῃ διανύων τὸν ὅσιον βίον ὁ θεῖος Ἐφραίμ, ἐγένετο ἐν ἔτει ᾳυκστ' (1426) Μαΐου ε' ἐπιδρομὴ καὶ ἔφοδος ἐκεῖσε ἀσεβῶν Ἀγαρηνῶν, ὑφ' ὧν ὑπέστη βίαιον καὶ μαρτυρικὸν θάνατον, μαρτυρικοῦ ἀξιωθεὶς στεφάνου. Ἐρημώσεως δὲ ἐπελθούσης, ἠγνοήθησαν πάντα, ταφέντα τῷ τάφῳ τῆς λήθης, καὶ καλυφθέντα τῷ λίθῳ τῆς σιωπῆς, ἐπὶ πολλῶν ἐτῶν περιόδους. Συγκροτηθείσης δὲ ἐν ταῖς ἡμέραις ἡμῶν καὶ αὖθις τῆς Μονῆς ὑπὸ εὐλαβῶν μοναστριῶν, ἡ τούτων ἡγουμένη, ἧς ἡ κλῆσις Μακαρία, θείῳ κινηθεῖσα νεύματι, ἠβουλήθη ποιῆσαι ἐκσκαφὴν ἔντινι τῆς Μονῆς μέρει, ἔνθα ὡρῶντο ἐρείπια ἀρχαίας κέλλης. Καὶ τούτου γενομένου, εὑρέθησαν ὀστᾶ ὁσίου ἀνδρὸς ταφέντος, ἢ μᾶλλον ριφθέντος καὶ καλυφθέντος ἐκεῖσε ἀτάκτως· ἐκ νότου γὰρ πρὸς βορρᾶν ἦν κείμενος ὁ νεκρός, ἡ δὲ κεφαλὴ ἦν πολὺ ὑψηλότερον τοῦ ὅλου σώματος, ἐπὶ τοῦ ἐκεῖ βράχου στηριζομένη, ὅπερ μαρτυρεῖ τὸ μαρτυρικὸν τοῦ ὁσίου τέλος. Ταῦτα ἀπέπνεον θείαν εὐωδίαν· καὶ εὐλαβῶς περισυλλεγέντα, ἐτέθησαν κατ' ἀρχὰς ἐκεῖ που, ἀγνοούσης τῆς ἡγουμένης τίς ὁ εὑρεθεὶς παρ' ἐλπίδα ὅσιος καὶ ἅγιος νεκρός.



Ἐν μιᾷ οὖν τῶν ἡμερῶν ἐφάνη αὐτῇ ὅσιός τις, ὀφθαλμοφανῶς ἐν ἐγρηγόρσει, τελούσῃ καὶ ψαλλούσῃ τὴν ἑσπερινὴν ἀκολουθίαν, ὃς καὶ εἶπεν αὐτῇ, ὅτι τὰ εὑρεθέντα λείψανα ἀνήκουν αὐτῷ· καλεῖται Ἐφραίμ· διετέλεσε μοναχὸς τῆς αὐτῆς Μονῆς· ἐμόνασεν ἄγων τὸ δέκατον τέταρτον ἔτος τῆς ἡλικίας· καὶ ὅτι ἀνημέρων Ἀγαρηνῶν ἐπιδραμόντων τῇ Μονῇ ἐν ἔτει αυκστ' (1426) Μαΐου ε', ὑπέστη μαρτυρικὸν θάνατον. Τότε ἐμάθομεν ὅτι ταῦτα ἐγένοντο κατὰ τὸν ΙΕ' αἰῶνα, ἐξ αὐτοῦ τοῦ ἰδίου στόματος τοῦ ἐπιφανέντος Μεγαλομάρτυρος Ἐφραίμ. Ἔκτοτε ὁ Ὅσιος πατὴρ καὶ μάρτυς τοῦ Χριστοῦ Ἐφραὶμ ἐνεφανίσθη πλείστοις κατ' ὄναρ καὶ ὕπαρ, καὶ θαύματα ἐνήργησε καὶ ἐνεργεῖ· παραλύτους γὰρ συνέσφιγξε, καὶ ἄλλας δεινὰς ἀσθενείας ἰάσατο, τῶν ἐπικαλουμένων τὸ ἅγιον αὐτοῦ ὄνομα μετὰ θερμῆς πίστεως, καὶ προσελθόντων καὶ προσερχομένων τοῖς θείοις αὐτοῦ λειψάνοις, ἐν τῇ ἱερᾷ αὐτοῦ Μονῇ, καταστᾶσι, τῇ τοῦ Παρακλήτου ἐπιφοιτήσει, κοινὸν καὶ ἄμισθον ἰατρεῖον ψυχῶν καὶ σωμάτων.

*Ταῖς αὐτοῦ πρεσβείαις Χριστὲ ὁ Θεὸς ἐλέησον καὶ σῶσον ἡμᾶς, ὡς ἀγαθὸς καὶ φιλάνθρωπος. Ἀμήν.*

*Ὠδὴ ζ'. Ὁ Εἱρμός.*

*Οὐκ ἐλάτρευσαν, τῇ κτίσει οἱ θεόφρονες, παρὰ*

www.tezaurliturgic.ro



*τὸν Κτίσαντα· ἀλλὰ πυρὸς ἀπειλήν, ἀνδρείως πατήσαντες, χαίροντες ἔψαλλον· Ὑπερύμνητε, ὁ τῶν Πατέρων Κύριος, καὶ Θεὸς εὐλογητὸς εἶ.* (Δίς).

**Συντριβέντα με,** τοῖς πταίσμασι καὶ κείμενον, ἐν σκότει Κύριε, τῆς παραβάσεως, οἰκτείρας ἠλέησας, δι' ἀγαθότητα, καὶ ἐν ὕδασι, τοῦ Ἰορδάνου Δέσποτα, παραγίνῃ βαπτισθῆναι. *(Δίς).*

**Τί τὸ ξένον,** τοῦτο θέαμα ἐβόησαν, Ἀγγέλων τάγματα· ὁ λίμνας καὶ ποταμούς, ποιήσας προστάγματι, τὰ Ἰορδάνεια, ρεῖθρα ἔρχεται, περιβαλέσθαι· τούτοις γάρ, τὸν Ἀδὰμ ἀνακαινίζει.

**Ὕψος ἄφατον,** καὶ βάθος μὴ μετρούμενον, ὑπάρχει Δέσποτα, οἰκονομία ἡ σή, πᾶσαν ὑπερβαίνουσα, νοὸς καταλήψιν· πῶς δι' ὕδατος, καὶ Παναγίου Πνεύματος, τοὺς βροτοὺς ἀναχωνεύεις;

Τοῦ Ἁγίου. Ὁ αὐτός.

**Μετ' ἐκπλήξεως,** ἰδοῦσά σε μακάριε, ὅλη τεθάμβηται, τῇ ἐμφανείᾳ τῇ σῇ, ἡ πρώην τὰ θεῖα σου, δέδωκας λείψανα, καὶ τὸ θεῖον σου, μαθοῦσα Πάτερ ὄνομα, ὕμνον ᾖσε τῷ Κυρίῳ.

**Νέον στήριγμα,** τῇ Ἐκκλησίᾳ πέφηνας, Ἐφραὶμ τρισόλβιε, ἀναφανεὶς θαυμαστῶς, εἰ καὶ πάλαι ἤθλησας, γνώμῃ θεόφρονι· καὶ τοῖς θαύμασι, τῶν ἱερῶν λειψάνων σου, χαρμονῆς θείας πληροῦται.

**Ἐκ τῆς πόλεως,** τῶν Ἀθηναίων σπεύδουσι, Πάτερ τῇ Μάνδρᾳ σου, καὶ Πειραιῶς εὐλαβῶς, ζητοῦντες βοήθειαν, ἐκ τῆς σῆς χάριτος, καὶ προσπίπτοντες, τοῖς ἱεροῖς λειψάνοις σου, τῶν παθῶν ἀπολυτροῦνται.



Θεοτοκίον.

**Ὡς ὑπένηγκε,** τὴν τῶν βαρβάρων ἔφοδον. Ἐφραὶμ ὁ Ὅσιος, ἐν τῇ σεπτῇ σου Μονῇ, Μαρτύρων ἰσότιμος, Ἁγνὴ γεγένηται, ἀνακράζων σοι· χαῖρε Παρθένε Ἄχραντε, τῶν ἀνθρώπων σωτηρία.

**Καταβασία.**

***Νέους εὐσεβεῖς, καμίνῳ πυρὸς προσομιλίσαντας, διασυρίζον πνεῦμα δρόσου, ἀβλαβεῖς διεφύλαξε, καὶ θείου Ἀγγέλου συγκατάβασις· ὅθεν ἐν φλογὶ δροσιζόμενοι, εὐχαρίστως ἀνέμελπον· Ὑπερύμνητε, ὁ τῶν Πατέρων Κύριος, καὶ Θεὸς εὐλογητὸς εἶ.***

*Ὠδὴ η'. Ὁ Εἱρμός.*

*Παῖδας εὐαγεῖς ἐν τῇ καμίνῳ, ὁ τόκος τῆς Θεοτόκου διεσώσατο, τότε μὲν τυπούμενος, νῦν δὲ ἐνεργούμενος, τὴν οἰκουμένην ἅπασαν ἀγείρει ψάλλουσαν· Τὸν Κύριον ὑμνεῖτε τὰ ἔργα, καὶ ὑπερυψοῦτε, εἰς πάντας τοὺς αἰῶνας.* (Δίς).

Φωνὴ τοῦ Γεννήτορος ἐξ ὕψους, Υἱὸν μαρτυρήσει ὁμοούσιον, βαίνοντα ἐν ὕδασι, καὶ τὴν εὐλογίαν σου, τούτοις προσεπιπέμποντα Εὐλογημένε Χριστέ, καὶ Πνεῦμά σε τὸ Ἅγιον πᾶσιν, ἐπανακηρύξει, Θεὸν σεσαρκωμένον.

**Χόρευε** ἡ κτίσις αἰσθομένη, Θεοῦ τὴν ἁγίαν ἐπιφάνειαν· Ἄγγελοι ὑμνήσατε· θάλασσα εὐφράνθητι· λίμναι πηγαὶ σκιρτήσατε, καὶ ποταμοὶ μυστικῶς, κροτήσατε ἐν ὕμνοις· ἐπέστη, ὁ ταῖς εὐλογίαις, ὑμᾶς Χριστὸς λαμπρύνων.

**Ψάλλωμεν** Κυρίῳ ἐν αἰνέσει, τῷ ἐπιφανέντι ἐν τοῖς ὕδασι, καὶ τὴν συντριβὴν ἡμῶν, τούτοις ἀνα-

www.tezaurliturgic.ro



πλάσαντι, καὶ κεφαλὰς συντρίψαντι, τῶν ἀοράτων ἐχθρῶν, καὶ κράξωμεν· Ὑμνεῖτε τὰ ἔργα, καὶ ὑπερυψοῦτε, εἰς πάντας τοὺς αἰῶνας.

Θεοτοκίον.

**Ὢ θαῦμα** θαυμάτων πῶς ὁ πάσης, ἐπέκεινα κτίσεως Θεὸς ἡμῶν, κτίζεται καὶ πλάττεται, ἐκ τῆς Θεομήτορος, καὶ καινουργεῖ θελήματι καὶ ἀναπλάττει ἡμᾶς, δι᾿ ὕδατος καὶ Πνεύματος πλάσιν, θαυμασιωτάτην, ὁ μόνος εὐεργέτης.

Τοῦ Ἁγίου. Ὁ αὐτός.

**Γέγονεν** ἡ εὕρεσις παμμάκαρ, λειψάνων σου τῶν ἁγίων Ἐφραὶμ Ἅγιε, ἑορτῆς ὑπόθεσις, καὶ θαυμάτων πρόξενος, ἁγιασμὸν παρέχουσα καὶ παθῶν ἴασιν, τοῖς πίστει προσιοῦσι προθύμως, τῇ σεπτῇ Μονῇ σου, καὶ σὲ ὑμνολογοῦσι.

**Ἔχει** ἡ Μονή σου ἡ Ἁγία, προστάτην καὶ ἀρωγόν σε ἑτοιμότατον, καὶ καυχᾶται Ἅγιε, καὶ καθαγιάζεται, τοῖς ἱεροῖς λειψάνοις σου πίστει προσπίπτουσα· ᾗ δίδου ἐσαεὶ οὐρανόθεν, τῆς σῆς εὐλογίας, τὰς σωτηρίους δόσεις.

**Ρῶσιν** καὶ τελείαν θεραπείαν, ὁ πρώην Πάτερ παράλυτος εὑράμενος, προσελθὼν ἐκ πίστεως, τῇ σεπτῇ σου χάριτι, διαπρυσίῳ στόματι πᾶσιν ἐκήρυττε, τὴν σὴν θαυματουργίαν θεόφρον, δι᾿ ἧς μετεστράφη, Κυρίῳ ὁλοψύχως.

Θεοτοκίον.

**Ἄτρεπτος** διέμεινεν ἐν πᾶσι, τῇ σῇ ἀντιλήψει δυναμούμενος, Ἐφραὶμ ὁ μακάριος, ἐχθρῶν ἰταμότητι, ὑμνολογῶν σε Δέσποτα, καὶ πίστει κράζει σοι·



λαμπὰς χαῖρε φωτὸς τοῦ ἀδύτου, χαῖρε Παναγία, ὑπερδεδοξασμένη.

**Καταβασία.**

***Μυστήριον παράδοξον, ἡ Βαβυλῶνος ἔδειξε κάμινος, πηγάσασα δρόσον· ὅτι ρείθροις ἔμελλεν, ἄϋλον πῦρ εἰσδέχεσθαι ὁ Ἰορδάνης, καὶ στέγειν σαρκὶ βαπτιζόμενον τὸν κτίστην· ὃν εὐλογοῦσι λαοί, καὶ ὑπερυψοῦσιν εἰς πάντας τοὺς αἰῶνας.***

*Ὠδὴ θ'. Ὁ Εἱρμός.*

*Ἅπας γηγενής, σκιρτάτω τῷ πνεύματι λαμπαδουχούμενος· πανηγυριζέτω δέ, ἀΰλων Νόων φύσις γεραίρουσα, τὰ ἱερὰ θαυμάσια τῆς Θεομήτορος, καὶ βοάτω· χαίροις παμμακάριστε, Θεοτόκε Ἁγνὴ Ἀειπάρθενε.* (Δίς).

**Ἴδε** ὁ ἀμνός, ὁ αἴρων τὰ πταίσματα τῆς ἀνθρωπότητος, ἦλθεν ἐπεδήμησε· καὶ πρὸς τὸν δοῦλον αἰτῶν τὸ βάπτισμα, δουλοπρεπῶς ἐφίσταται, ἐλευθερῶσαι ζητῶν, δουλωθέντας, ἡμᾶς τῷ ἀλάστορι, καὶ τὸ κάλλος τὸ πρὶν ἀπολέσαντας.

**Ὤφθη** ἐμφανῶς, Θεὸς σωματούμενος δι᾿ ἀγαθότητα· καὶ τὰ Ἰορδάνεια, περιβαλέσθαι ἔρχεται νάματα, ὁ περιβάλλων νέφεσι τὸν οὐρανὸν ἀληθῶς· τούτου πάντες, νῦν προεορτάσωμεν, τὴν σεπτὴν ἐν χαρᾷ ἐπιφάνειαν.

**Σκίρτησον** χαρᾷ, καὶ προετοιμάσθητι καθυποδέξασθαι, ὕδωρ τὸ ἁλλόμενον, ᾧ Ἰορδάνη εἰς αἰωνίαν ζωήν· οἱ ποταμοὶ χορεύσατε βλέποντες νῦν τῆς τρυφῆς, τὸν χειμάρρουν, ρείθροις ἐπιβαίνοντα, καὶ κακίας τὴν χύσιν ξηραίνοντα.

www.tezaurliturgic.ro



Θεοτοκίον

**Φρίττει** Χερουβίμ, καὶ πᾶσα οὐράνιος φύσις Πανάμωμε, τὸν ὑπὲρ κατάληψιν, σεπτόν σου τόκον ὁμοιωθέντα ἡμῖν, δι' εὐσπλαχνίαν ἄφατον καὶ βαπτισθέντα σαρκί· οὗ τὴν θείαν, πάντες ἐπιφάνειαν, ἑορτάζομεν νῦν ἀγαλλόμενοι.

Τοῦ Ἁγίου, ὁ αὐτός.

**Στήριγμα** γενοῦ, καὶ τεῖχος ἀκράδαντον καὶ πύργος ἄσειστος, τῇ Μονῇ σου Ἅγιε, τῇ κατεχούσῃ ὡς ὄλβον ἄσυλον, τὰ ἱερά σου λείψανα καὶ χαριτόβρυτα, καὶ εἰς πᾶσαν, Πάτερ τὴν περίοικον, ἀεὶ δίδου τὰ θεῖα δωρήματα.

**Ἴασαι** ἡμῶν, ψυχῆς καὶ τοῦ σώματος τὰς νόσους Ἅγιε, οἷα συμπαθέστατος, καὶ φῶς παράσχου ἡμῖν οὐράνιον, καὶ τάχος ἀποδίωξον ἐξ ἡμῶν Ἅγιε, τοῦ Βελίαρ, ἅπαντα τὰ σκάνδαλα, ἐν εἰρήνῃ φυλάττων τὴν ποίμνην σου.

**Μύρου** νοητοῦ, ἀλάβαστρον γέγονας, Πάτερ τῷ βίῳ σου· ὅθεν καὶ τὰ λείψανα, τὰ ἱερά σου ὑπὲρ ἀρώματα, ἡμᾶς εὐωδιάζουσιν ὀσμῇ τῇ κρείττονι, δυσωδίαν, παθῶν ἀπελαύνοντα, θεοφόρε Ἐφραὶμ τῇ σῇ χάριτι.

**Ὄμβρησον** ἡμῖν, Χριστὲ Πολυέλεε χάριν καὶ ἔλεος, θείαις παρακλήσεσιν, Ἐφραὶμ τοῦ Ἱερομάρτυρος οὗ ταῖς πρεσβείαις εὔσπλαχνε Κύριε τὴν τῇ γὰρ τούτου, προστασίᾳ γάνυται, ἡ παροῦσα Μονὴ καὶ διέπεται.

Θεοτοκίον.

**Ὕμνοις** καὶ ᾠδαῖς, δοξάζων τὴν δόξαν σου Ἐφραὶμ ὁ Ὅσιος, χαῖρε σοι ἐκραύγαζεν, Εὐλογημένη Θεοχαρίτωτε· χαῖρε σκέπη καὶ καύχημα ταύτης τῆς Μάνδρας σου· ἣν ἀπαύστως, Θεοτόκε φύλαττε, ἐκ δεινῶν πειρασμῶν τε καὶ θλίψεων.



**Καταβασία.**

***Ἀπορεῖ πᾶσα γλῶσσα, εὐφημεῖν πρὸς ἀξίαν· ἰλιγγιᾷ δὲ νοῦς καὶ ὑπερκόσμιος, ὑμνεῖν σε Θεοτόκε· ὅμως ἀγαθὴ ὑπάρχουσα, τὴν πίστιν δέχου, καὶ γὰρ τὸν πόθον οἶδας, τὸν ἔνθεον ἡμῶν· σὺ γὰρ Χριστιανῶν εἶ προστάτις, σὲ μεγαλύνομεν.***

## Ἐξαποστειλάριον.

Γυναῖκες ἀκουτίσθητε.

**Τῆς ἱερᾶς** εὑρέσεως, τῶν ἱερῶν λειψάνων σου, ἀνάμνησιν ἐκτελοῦντες, πανηγυρίζομεν πόθῳ, Ἐφραὶμ ἀνευφημοῦντές σε, ὡς Ὅσιον καὶ Μάρτυρα, καὶ ἰατῆρα τάχιστον, τῶν εὐλαβῶς προσιόντων, τῇ ἀντιλήψει σου Κύριε.

Προεόρτιον, ὅμοιον.

**Τὰ θεῖα** προεόρτια, ἐν εὐφροσύνῃ ἄγοντες, τῆς θείας ἐπιφανείας, τοῦ Βασιλέως τῆς δόξης, πῶς ὑπὸ δούλου ὁ Κτίστης δέχεται βάπτισμα θεῖον.

## Εἰς τοὺς Αἴνους.

Ἱστῶμεν στίχους δ', καὶ ψάλλομεν τὰ ἑξῆς **Προσόμοια.**

*Ἦχος α'. Τῶν οὐρανίων ταγμάτων.*

**Τῇ φανερώσει** τῶν θείων Ἐφραὶμ λειψάνων σου, παντὶ γνωστὸς τῷ κόσμῳ, θαυμαστῶς ἀνεδείχθης, ὁ πάλαι κεκρυμμένος λήθης βυθῷ, καὶ εὐφραίνεις

www.tezaurliturgic.ro



τοὺς ἅπαντας, τοῖς θαύμασί σου οἷς χάριτι ἐνεργεῖς, εἰς Χριστοῦ δόξαν καὶ αἴνεσιν.

**Δεδοξασμένος** θεόφρον Ἁγίῳ Πνεύματι, οἷς θέλεις ἐπιφαίνῃ, τοῖς ἐγγὺς καὶ τοῖς πόρρω, Ἐφραὶμ θαυματοφόρε καὶ χορηγεῖς, τοῖς αἰτοῦσι τὰ πρόσφορα, καὶ θεραπεύεις νοσήματα χαλεπά, τῇ προσπτύξει τῶν λειψάνων σου.

**Ἐπιδραμόντων** βαρβάρων ποτὲ τῇ Μάνδρᾳ σου, μαρτυρικῷ θανάτῳ, πρὸς Χριστὸν μετετέθης· τανῦν δὲ μετὰ χρόνιον ὑπὸ γῆν, τοῦ σοῦ σκήνους κατάκρυψιν, τοῦτο ἀνέδειξας Πάτερ νεύσει Θεοῦ, οἷα δώρημα οὐράνιον.

**Μεγαλομάρτυς** Κυρίου μακάριε, ῥύου ἐκ πάσης βλάβης, τὴν παροῦσαν Μονήν σου, καὶ πλήρου τὰ αἰτήματα συμπαθῶς, τῶν αἰτούντων τὴν χάριν σου, καὶ προσκυνούντων λειψάνων σου τὴν σορόν, ὡς θησαύρισμα τῆς χάριτος.

**Δόξα.** *Ἦχος πλ. α'.*

**Ὡς ἥλιος νεοφανής,** τῇ σεπτῇ Ἐκκλησίᾳ ἀνέτειλας, Ὁσιομάρτυς Ἐφραὶμ μακάριε· τῇ γὰρ εὑρέσει τῶν σεπτῶν λειψάνων σου, χαρᾶς πολλῆς ἡμᾶς ἔπλησας, καὶ πάντα τὰ σὰ γνωστὰ γεγόνασιν, ἀποκρυβέντα πάλαι, ἐτῶν πολλῶν ἑλίξεσι· νῦν δὲ φανέντα ἡμῖν, ἐκ τῶν ἀδύτων τῆς γῆς, μαρμαρυγὰς ἰαμάτων ἐπαφιᾶσι, καὶ σκότος παθῶν λύουσι, καὶ ῥῶσιν καὶ ὑγείαν χορηγοῦσι τοῖς πιστοῖς. Ἀλλ' ὡς τῆς ἄνω δόξης κοινωνός, σὺν Ὁσίοις καὶ Μάρτυσι πρέσβευε, ἐλεηθῆναι τὰς ψυχὰς ἡμῶν.



**Καὶ νῦν.** Ὁ αὐτός. Προεόρτιον.

**Ἐν Ἰορδάνῃ ποταμῷ,** Χριστὸς ὁ Θεὸς ἡμῶν, μολεῖ πρὸς τὸ Βάπτισμα, καθᾶραι θέλων ἡμᾶς, ἐκ τῶν ἀνομιῶν ἡμῶν, τῇ αὐτοῦ ἐπιφανείᾳ, ὡς μόνος ἀγαθὸς καὶ φιλάνθρωπος.

## *Δοξολογία μεγάλη καὶ ἀπόλυσις.*

## Εἰς τὴν Λειτουργίαν.

Τὰ τυπικά, οἱ Μακαρισμοί, καὶ ἐκ τοῦ κανόνος τοῦ Ἁγίου ἡ γ' καὶ στ' ᾠδή.

**Ἀπόστολος**

Προκείμενον.

Τίμιος ἐναντίον Κυρίου ὁ θάνατος τοῦ Ὁσίου αὐτοῦ.

Στίχ. Θαυμαστὸς ὁ Θεὸς ἐν τοῖς Ἁγίοις αὐτοῦ.

Πρὸς Ρωμαίους Ἐπιστολῆς Παύλου τὸ Ἀνάγνωσμα.

**Ἀδελφοί,** ὅσοι Πνεύματι Θεοῦ ἄγονται, οὗτοί εἰσιν υἱοὶ Θεοῦ. Οὐ γὰρ ἐλάβετε Πνεῦμα δουλείας πάλιν εἰς φόβον, ἀλλ' ἐλάβετε Πνεῦμα υἱοθεσίας, ἐν ᾧ κράζομεν· Ἀββᾶ ὁ πατήρ. Αὐτὸ τὸ Πνεῦμα συμμαρτυρεῖ τῷ πνεύματι ἡμῶν ὅτι ἐσμὲν τέκνα Θεοῦ. Εἰ δὲ τέκνα, καὶ κληρονόμοι, κληρονόμοι μὲν Θεοῦ, συγκληρονόμοι δὲ Χριστοῦ, εἴπερ συμπάσχομεν ἵνα καὶ συνδοξασθῶμεν. Λογίζομαι γὰρ ὅτι οὐκ ἄξια τὰ παθήματα τοῦ νῦν καιροῦ πρὸς τὴν μέλλουσαν δόξαν ἀποκαλυφθῆναι εἰς ἡμᾶς. Ἡ γὰρ ἀποκαραδοκία τῆς κτίσεως τὴν ἀποκάλυψιν τῶν υἱῶν τοῦ Θεοῦ ἀπεκδέχεται. Τῇ γὰρ ματαιότητι ἡ κτίσις ὑπετάγη, οὐχ ἑκοῦσα, ἀλλὰ διὰ τὸν ὑποτάξαντα, ἐπ' ἐλπίδι ὅτι καὶ αὐτὴ ἡ κτίσις ἐλευθερωθήσεται ἀπὸ τῆς δουλείας τῆς φθορᾶς εἰς τὴν ἐλευθερίαν τῆς δόξης τῶν τέκνων τοῦ Θεοῦ.

www.tezaurliturgic.ro



**Εὐαγγέλιον** κατὰ Ματθαῖον.

Εἶπεν ὁ Κύριος· Πάντα ὅσα ἂν θέλητε ἵνα ποιῶσιν ὑμῖν οἱ ἄνθρωποι, οὕτω καὶ ὑμεῖς ποιεῖτε αὐτοῖς· οὗτος γάρ ἐστιν ὁ νόμος καὶ οἱ προφῆται. Εἰσέλθετε διὰ τῆς στενῆς πύλης· ὅτι πλατεῖα ἡ πύλη, καὶ εὐρύχωρος ἡ ὁδός, ἡ ἀπάγουσα εἰς τὴν ἀπώλειαν, καὶ πολλοί εἰσιν οἱ εἰσερχόμενοι δι' αὐτῆς. Ὅτι στενὴ ἡ πύλη, καὶ τεθλιμμένη ἡ ὁδός, ἡ ἀπάγουσα εἰς τὴν ζωήν, καὶ ὀλίγοι εἰσὶν οἱ εὑρίσκοντες αὐτήν. Προσέχετε δὲ ἀπὸ τῶν ψευδοπροφητῶν, οἵτινες ἔρχονται πρὸς ὑμᾶς ἐν ἐνδύμασι προβάτων, ἔσωθεν δέ εἰσι λύκοι ἅρπαγες. Ἀπὸ τῶν καρπῶν αὐτῶν ἐπιγνώσεσθε αὐτούς· μήτι συλλέγουσιν ἀπὸ ἀκανθῶν σταφυλήν, ἢ ἀπὸ τριβόλων σῦκα; Οὕτω πᾶν δένδρον ἀγαθὸν καρποὺς καλοὺς ποιεῖ· τὸ δὲ σαπρὸν δένδρον καρποὺς πονηροὺς ποιεῖ. Οὐ δύναται δένδρον ἀγαθὸν καρποὺς πονηροὺς ποιεῖν, οὐδὲ δένδρον σαπρὸν καρποὺς καλοὺς ποιεῖν. Πᾶν δένδρον μὴ ποιοῦν καρπὸν καλὸν ἐκκόπτεται καὶ εἰς πῦρ βάλλεται. Ἄρα γε ἀπὸ τῶν καρπῶν αὐτῶν ἐπιγνώσεσθε αὐτούς. Οὐ πᾶς ὁ λέγων μοι, Κύριε, Κύριε, εἰσελεύσεται εἰς τὴν βασιλείαν τῶν οὐρανῶν· ἀλλ' ὁ ποιῶν τὸ θέλημα τοῦ Πατρὸς μου τοῦ ἐν οὐρανοῖς.

**Κοινωνικόν.** Εἰς μνημόσυνον αἰώνιον, ἔσται δίκαιος· ἀλληλούϊα.

**Μεγαλυνάρια.**

**Χαίρει ἡ Μονή σου ἡ εὐαγής,** ἐπὶ τῇ εὑρέσει, τῶν λειψάνων σου τῶν σεπτῶν, καὶ πιστῶς βοᾷ σοι, Ἐφραὶμ Ὁσιομάρτυς· χαῖρε τῆς Ἐκκλησίας ἀστὴρ νεόφωτος.



**Ὤφθησαν ὡς κρίνα ἐαρινά,** ὀσμὴν ἰαμάτων, διαπνέοντα τοῖς πιστοῖς, Ἐφραὶμ θεομάκαρ, τὰ θεῖα λείψανά σου· διὸ ἐν τῇ εὑρέσει τούτων ὑμνοῦμεν σε.

*Δίστιχον,*

*Ἐφραὶμ Πάτερ εὔφρανον χαρᾷ ἁγίᾳ*
*Γεράσιμον πλέξαντα τάδε σοι μέλη.*

*Γ.Μ.Μ.*



*Ἡ ἔξοδος ἀπὸ τὸ ἐσωτερικὸν τῆς Ἰ. Μονῆς.*

www.tezaurliturgic.ro



*Ἡ ἱερὰ Μονὴ τοῦ Εὐαγγελισμοῦ τῆς Ὑπεραγίας Θεοτόκου κατὰ τὸ 1957. Διακρίνονται τὰ ἐρειπωμένα κελλιὰ τελευταῖοι μάρτυρες τῆς μεγαλοπρεποῦς Βυζαντινῆς Μονῆς μὲ τοὺς Ὁσιομάρτυρας Πατέρας της.*



## ΜΑ·Ι·ΟΥ Ε′.

*Μνήμη τοῦ Ἁγίου ἐνδόξου Ὁσιο-Μεγαλομάρτυρος Ἐφραὶμ τοῦ νεοφανοῦς καὶ θαυματουργοῦ, τοῦ διαλάμψαντος ἀσκητικῶς καὶ ἀθλητικῶς ἐν τῷ παρὰ τὴν Ἀττικὴν ὄρει τῶν Ἀμώμων, ἐγγὺς τῆς Νέας Μάκρης.*

## ΕΝ ΤΩ ΜΙΚΡΩ ΕΣΠΕΡΙΝΩ

Ἱστῶμεν στίχους δ′ καὶ ψάλλομεν τὰ ἑξῆς **Προσόμοια.**

*Ἦχος β′. Ὅτε ἐκ τοῦ ξύλου.*

Δεῦτε Ἀττικῶν πᾶσα πληθύς, ὄρει τῶν Ἀμώμων ἐν πίστει, θερμῇ προσέλθωμεν, μνήμην τὴν πανίερον, τοῦ θεοφόρου Ἐφραίμ, ὁμοφώνως γεραίροντες· οὗτος γὰρ ἐνταῦθα, βίον τὸν ἐνάρετον, πολιτευσάμενος, ἤνυσε Μαρτύρων ἀγῶνας, καὶ διπλῶν στεφάνων ἀξίως, παρὰ τοῦ Σωτῆρος κατηξίωται.

Ὅτε ἀπηρνήσω σεαυτόν, ἔρωτι τρωθεὶς τῷ ἁγίῳ, ἀπὸ νεότητος, τότε ἦρας Ὅσιε τὸν τοῦ Σωτῆρος Σταυρόν, καὶ αὐτῷ ἠκολούθησας, προθύμῳ καρδίᾳ, πόνοις τῆς ἀσκήσεως, ἀποκαθάρας τὸν νοῦν. Ὅθεν τὴν βαρβάρων μανίαν, ἤνεγκας Ἐφραὶμ στερροψύχως, καὶ Μαρτύρων στέφει κεκαλλώπισαι.

www.tezaurliturgic.ro



**Ὤφθης** ὡς ἀστὴρ νεοφανής, ἄρτι ἐκφανθεὶς εὐδοκίᾳ, Πάτερ τῇ κρείττονι, διὰ τῆς εὑρέσεως, τῶν σῶν ἁγίων ὀστῶν, καὶ θαυμάτων ταῖς λάμψεσιν, ἡμᾶς καταυγάζεις, ἐν Ἁγίῳ Πνεύματι, Ἐφραὶμ μακάριε· νόσους γὰρ ἰᾶσαι ποικίλας, καὶ ὀξέως πάντας προφθάνεις, τοὺς ἀπὸ ψυχῆς πιστῶς φωνοῦντάς σε.

**Ὄρος** τῶν Ἀμώμων ἀληθῶς, τοῖς ἀσκητικοῖς σου ἱδρῶσιν, ἠρδεύθη Ὅσιε, καὶ τοῖς τῶν αἱμάτων σου ρείθροις ἡγίασται· ἐν αὐτῷ γὰρ διήνυσας, στερρῶς τοὺς ἀγῶνας, καὶ ἐχθρῶν κατέβαλες, πᾶσαν τὴν δύναμιν. Ὅθεν τὴν ἁγίαν Μονήν σου, τὴν ἐν σοὶ ἀεὶ καυχωμένην, φύλαττε Ἐφραὶμ ἐκ πάσης θλίψεως.

**Δόξα.** *Ἦχος β'.*

**Ἀσκητικοῖς** περιρρεόμενος ἱδρῶσι, τὸ σὸν αἷμα προθύμως ἔχεας, ὑπὲρ τῆς δόξης Κυρίου, Ἐφραὶμ θεοδόξαστε· τῇ γὰρ πέτρᾳ τῆς πίστεως, ἐρηρεισμένος ἀκλινῶς, ἀκατάσειστος ἔμεινας, ταῖς τῶν ἐχθρῶν μηχαναῖς· καὶ ποικιλοτρόπως αἰκισθείς, τὸν δρόμον τῆς ἀθλήσεως, νομίμως τετέλεκας. Ἀλλ' ὦ Μεγαλομάρτυς μακάριε, δέχου ἡμῶν τὰς ᾠδάς, καὶ πλήρου τὰ πρὸς σωτηρίαν αἰτήματα.

**Καὶ νῦν.** Τῆς Ἑορτῆς.

## Ἀπόστιχα.

*Ἦχος β'. Οἶκος τοῦ Ἐφραθᾶ.*

**Νέος** ἐν Ἀσκηταῖς, καὶ Μάρτυσιν ἐδείχθης, Ἐφραὶμ Ἱερομάρτυς, καὶ ἐνεργεῖς θαυμάτων, δυνάμεις τοῖς τιμῶσί σε.

Στίχ. Τίμιος ἐναντίον Κυρίου ὁ θάνατος τοῦ ὁσίου αὐτοῦ.



**Ἤνεγκας** καρτερῶς, βαρβάρων τὴν μανίαν, Ἐφραὶμ Ὁσιομάρτυς, καὶ ρείθροις τῶν αἱμάτων, τὴν σὴν στολὴν ἐφοίνιξας.

Στιχ. Θαυμαστὸς ὁ Θεὸς ἐν τοῖς Ἁγίοις αὐτοῦ.

**Ἄγνωστος** πρὶν τελῶν, ἤδη ἡμῖν ἐγνώσθης, Ἐφραὶμ καὶ τῶν λειψάνων, τὴν εὐαγῆ σορόν σου, ὡς πλοῦτον ἡμῖν δέδωκας.

**Δόξα.** Τριαδικόν.

**Ἄναρχε** παντουργέ, ὁμότιμε Θεότης, Πάτερ Υἱὲ καὶ Πνεῦμα, Ἐφραὶμ ταῖς ἱκεσίαις, ἐλέησον τοὺς δούλους σου.

**Καὶ νῦν.**

**Δόξαν σου** τὴν πολλήν, ἐν ὄρει τῶν Ἀμώμων, Ἐφραὶμ ὑμνῶν ὁ θεῖος, Παρθένε Θεοτόκε, ὑπερφυῶς ἠγώνισται.

Νῦν ἀπολύεις, τὸ τρισάγιον, τὸ Ἀπολυτίκιον ἐκ τοῦ Μεγάλου Ἑσπερινοῦ, καὶ Ἀπόλυσις.



www.tezaurliturgic.ro

## ΕΝ ΤΩ ΜΕΓΑΛΩ ΕΣΠΕΡΙΝΩ

Μετὰ τὸν Προοιμιακόν, τὸ Μακάριος ἀνήρ. Εἰς δὲ τὸ Κύριε ἐκέκραξα ἱστῶμεν στίχους στ', καὶ ψάλλομεν τὰ ἑξῆς **Προσόμοια.**

*Ἦχος α'. Πανεύφημοι Μάρτυρες.*

**Πάτερ Ἐφραὶμ** ἀπὸ παιδός, τοῦ Χριστοῦ τοῖς ἴχνεσιν, ἀσκητικῶς ἠκολούθησας, βίον ἰσάγγελον, ἐν ὄρει Ἀμώμων, διανύων Ὅσιε, ἐν ᾧ βαρβαρικὴν ἰταμότητα, στερρῶς ὑπέμεινας, καὶ Μαρτύρων ἰσοστάσιος, ἀνεδείχθης, ἀθλήσας δι' αἵματος.

**Πάτερ Ἐφραὶμ** πολυειδῶς, αἰκισθεὶς τῷ σώματι, ἔστης ὡς πύργος ἀκλόνητος, ἐν ταῖς στρεβλώσεσι, καὶ χερσὶ Κυρίου, τὴν ψυχὴν παρέδωκας, τελέσας τὸν ἀγῶνα ὡς ἄσαρκος· διὸ τιμῶμέν σε, ὡς Χριστοῦ Μεγαλομάρτυρα, δοξασθέντα, ἐν ἀπείροις θαύμασι.

**Πάτερ Ἐφραὶμ** ἐπιφανείς, ἐξ ἀδύτων ἔπλησας, ἡμᾶς χαρᾶς ὁ πρὶν ἄγνωστος, καὶ τῶν λειψάνων σου, τὴν ἁγίαν θήκην, ἡμᾶς ἁγιάζουσαν, ὡς θεῖον θησαυρὸν ἡμῖν δέδωκας, ἐξ ἧς προέρχεται, ἰαμάτων χάρις ἄφθονος, τοῖς τελοῦσι, τὴν πάνσεπτον μνήμην σου.

**Πάτερ Ἐφραὶμ** ὡς τοῦ Χριστοῦ, θεράπων θερμότατος, δόξης πολλῆς κατιξίωσαι· ὅθεν καλούμενος,



πανταχοῦ προφθάνεις, καὶ παρέχεις ἅπασι, τὴν χάριν ἀληθῶς τὴν σωτήριον· καὶ ἐν ὀνείρασι, καὶ καθ' ὕπαρ ὀπτανόμενος, πᾶσι δίδως, ταχεῖαν βοήθειαν.

**Πάτερ Ἐφραὶμ** χρόνοις πολλοῖς, πρότερον κρυπτόμενος, ὁ φανερῶς τοῦ ἀλάστορος, λύσας τὴν δύναμιν, εὐδοκίᾳ θείᾳ, ἡμῖν πεφανέρωσαι, τὴν δόξαν ὑπεμφαίνων τὴν μέλλουσαν, καὶ τὴν λαμπρότητα, ἧς λαμπρῶς ἀξιωθήσονται, οἱ Κυρίῳ, ἀμέμπτως δουλεύσαντες.

**Πάτερ Ἐφραὶμ** ὄψιν τὴν σήν, καὶ τὴν ἐπιφάνειαν, τρόποις πολλοῖς ἐν τῇ Μάνδρᾳ σου, δεικνύων Ἅγιε, τοὺς σὲ καθορῶντας, ἐξιστᾷς τῇ δόξῃ σου· ἀλλὰ τοὺς τοῖς ἁγίοις λειψάνοις σου, πιστῶς προστρέχοντας, ῥῦσαι πάσης περιστάσεως, νοσημάτων, σβεννύων τὸν καύσωνα.

**Δόξα.** *Ἦχος πλ. β'.*

**Ἀγγελικὴν ὑπελθὼν πολιτείαν,** ἀπὸ νεότητος σοφέ, ἐν ὄρει τῶν Ἀμώμων ἐσκήνωσας, ἀσκητικῶς ἀγωνιζόμενος· τὴν γὰρ κλῆσιν εἰς ἔργον ἄγων, ἄμωμος καὶ ἄμεμπτος, ἐν τοῖς δικαιώμασι Κυρίου ὤφθης, ἀνακαθάρας σεαυτόν, πάσης ὑλικῆς προσπαθείας· καὶ χερσὶ μιαιφόνοις ἀποκτανθείς, ὡς θῦμα εὐπρόσδεκτον, καὶ ὁλοκαύτωμα θεῖον, προσηνέχθης Χριστῷ, ἀθλητικῶς τελέσας τὴν ζωήν. Ἀλλ' ὡς Ὅσιος ἐν Ἀσκηταῖς, καὶ Μάρτυς ἐν Ὁσίοις, διπλῶν στεφάνων ἔτυχες παρὰ Κυρίου, καὶ θαυμάτων χάριν ἐκομίσω, Μεγαλομάρτυς Ἐφραίμ· διὸ τοῖς τελοῦσι τὴν μνήμην σου, αἴτησαι ἱλασμὸν πταισμάτων, καὶ τὸ μέγα ἔλεος.

www.tezaurliturgic.ro



**Καὶ νῦν.** Τῆς Ἑορτῆς.

Εἴσοδος, Φῶς ἱλαρόν, τὸ Προκείμενον τῆς ἡμέρας, καὶ τὰ Ἀναγνώσματα.

*Προφητείας Ἡσαΐου τὸ Ἀνάγνωσμα.*
(Κεφ. μγ' 9).

Τάδε λέγει Κύριος· Πάντα τὰ ἔθνη συνήχθησαν ἅμα, καὶ συναχθήσονται ἄρχοντες ἐξ αὐτῶν. Τίς ἀναγγελεῖ ταῦτα ἐν αὐτοῖς; ἢ τὰ ἐξ ἀρχῆς, τίς ἀκουστὰ ποιήσει ὑμῖν; Ἀγαγέτωσαν τοὺς μάρτυρας αὐτῶν καὶ δικαιωθήτωσαν, καὶ εἰπάτωσαν ἀληθῆ. Γίνεσθέ μοι μάρτυρες, καὶ ἐγὼ μάρτυς Κύριος ὁ Θεός, καὶ ὁ παῖς, ὃν ἐξελεξάμην· ἵνα γνῶτε καὶ πιστεύσητε καὶ συνῆτε, ὅτι ἐγώ εἰμι. Ἔμπροσθέν μου οὐκ ἐγένετο ἄλλος Θεός, καὶ μετ' ἐμὲ οὐκ ἔσται. Ἐγώ εἰμι ὁ Θεός, καὶ οὐκ ἔστι πάρεξ ἐμοῦ ὁ σώζων. Ἐγὼ ἀνήγγειλα καὶ ἔσωσα, ὠνείδισα, καὶ οὐκ ἦν ἐν ὑμῖν ἀλλότριος. Ὑμεῖς ἐμοὶ μάρτυρες, καὶ ἐγὼ Κύριος ὁ Θεός· ὅτι ἀπ' ἀρχῆς ἐγώ εἰμι, καὶ οὐκ ἔστιν ὁ ἐκ τῶν χειρῶν μου ἐξαιρούμενος. Ποιήσω, καὶ τίς ἀποστρέψει αὐτό; Οὕτω λέγει Κύριος ὁ Θεός, ὁ λυτρούμενος ἡμᾶς, ὁ Ἅγιος Ἰσραήλ.

*Σοφίας Σολομῶντος τὸ Ἀνάγνωσμα.*
(Κεφ. γ' 1).

Δικαίων ψυχαὶ ἐν χειρὶ Θεοῦ, καὶ οὐ μὴ ἅψηται αὐτῶν βάσανος. Ἔδοξαν ἐν ὀφθαλμοῖς ἀφρόνων τεθνάναι, καὶ ἐλογίσθη κάκωσις ἡ ἔξοδος αὐτῶν, καὶ ἡ ἀφ' ἡμῶν πορεία σύντριμμα· οἱ δέ εἰσιν ἐν εἰρήνῃ. Καὶ γὰρ ἐν ὄψει ἀνθρώπων ἐὰν κολασθῶσιν, ἡ ἐλπὶς αὐτῶν ἀθανασίας πλήρης. Καὶ ὀλίγα παιδευθέντες, μεγάλα εὐεργετηθήσονται· ὅτι ὁ Θεὸς ἐπείρασεν αὐτούς, καὶ εὗρεν αὐτοὺς ἀξίους ἑαυτοῦ. Ὡς χρυσὸν ἐν χωνευτηρίῳ ἐδοκίμασεν αὐτούς, καὶ ὡς ὁλοκάρπωμα θυσίας προσεδέξατο αὐτούς. Καὶ ἐν καιρῷ ἐπισκοπῆς αὐτῶν ἀναλάμψουσιν, καὶ ὡς σπινθῆρες ἐν καλάμῃ διαδραμοῦνται. Κρινοῦσιν ἔθνη, καὶ κρατήσουσι λαῶν, καὶ βασιλεύσει αὐτῶν Κύριος εἰς τοὺς αἰῶνας. Οἱ πεποιθότες ἐπ' αὐτὸν συνήσουσιν ἀλήθειαν, καὶ οἱ πιστοὶ ἐν ἀγάπῃ προσμενοῦσιν αὐτῷ· ὅτι χάρις καὶ ἔλεος ἐν τοῖς ὁσίοις αὐτοῦ, καὶ ἐπισκοπὴ ἐν τοῖς ἐκλεκτοῖς αὐτοῦ.



*Σοφίας Σολομῶντος τὸ Ἀνάγνωσμα.*
(Κεφ. ε' 15).

Δίκαιοι εἰς τὸν αἰῶνα ζῶσι, καὶ ἐν Κυρίῳ ὁ μισθὸς αὐτῶν, καὶ ἡ φροντὶς αὐτῶν παρὰ Ὑψίστῳ. Διὰ τοῦτο λήψονται τὸ βασίλειον τῆς εὐπρεπείας καὶ τὸ διάδημα τοῦ κάλλους ἐκ χειρὸς Κυρίου· ὅτι τῇ δεξιᾷ αὐτοῦ σκεπάσει αὐτούς, καὶ τῷ βραχίονι ὑπερασπιεῖ αὐτῶν. Λήψεται πανοπλίαν τὸν ζῆλον αὐτοῦ, καὶ ὁπλοποιήσει τὴν κτίσιν εἰς ἄμυναν ἐχθρῶν. Ἐνδύσεται θώρακα δικαιοσύνην καὶ περιθήσεται κόρυθα, κρίσιν ἀνυπόκριτον. Λήψεται ἀσπίδα ἀκαταμάχητον ὁσιότητα, ὀξυνεῖ δὲ ἀπότομον ὀργὴν εἰς ρομφαίαν, συνεκπολεμήσει δὲ αὐτῷ ὁ κόσμος ἐπὶ τοὺς παράφρονας· πορεύσονται εὔστοχοι βολίδες ἀστραπῶν, καὶ ὡς ἀπὸ εὐκύκλου τόξου τῶν νεφῶν ἐπὶ σκοπὸν ἁλοῦνται καὶ ἐκ πετροβόλου θυμοῦ πλήρεις ριφήσονται χάλαζαι. Ἀγανακτήσει κατ' αὐτῶν ὕδωρ θαλάσσης, ποταμοὶ δὲ συγκλύσουσιν ἀποτόμως. Ἀντιστήσεται αὐτοῖς πνεῦμα δυνάμεως, καὶ ὡς λαῖλαψ ἐκλικμήσει αὐτούς, καὶ ἐρημώσει πᾶσαν τὴν γῆν ἀνομία, καὶ ἡ κακοπραγία περιτρέψει θρό-

www.tezaurliturgic.ro



νους δυναστῶν. Ἀκούσατε οὖν, βασιλεῖς, καὶ σύνετε· μάθετε, δικασταὶ περάτων γῆς· ἐνωτίσασθε οἱ κρατοῦντες πλήθους καὶ γεγαυρωμένοι ἐπὶ ὄχλοις ἐθνῶν· ὅτι ἐδόθη παρὰ Κυρίου ἡ κράτησις ἡμῖν, καὶ ἡ δυναστεία παρὰ Ὑψίστου.

*Εἰς τὴν Λιτήν, Ἰδιόμελα.*
*Ἦχος α'.*

**Δαβιτικὴν** ῥῆσιν πληρουμένην, ἐν σοὶ καθορῶντες, Ὁσιομάρτυς Ἐφραίμ, φαιδρῶς τιμῶμέν σε· ἐν ὄρει γὰρ Ἀμώμων, τὴν ἀρετὴν ἐργασάμενος, ὡς ἐν ὄρει Κυρίου, ἀθῷος ὤφθης ταῖς χερσί, καὶ καθαρὸς τῇ καρδίᾳ, δικαιοσύνην ἐνδυσάμενος· καὶ ἀπαθείας τὰ ἔθνη, μαρτυρικῷ ἀρδεύσας αἵματι, ἀθλητικὴν καρποφορίαν ἐξήνθησας, καὶ τῶν θαυμάτων τὸν γλυκασμόν, τῇ Ἐκκλησίᾳ βλυστάνεις· δι' ὧν παθῶν πικρία ξηραίνεται, καὶ πρὸς σωτηρίαν εὐοδοῦνται οἱ βοῶντες· Κύριε δόξα σοι.

*Ἦχος β'.*

**Τῶν ἀρετῶν** τὴν τρίβον, συντόνως πορευόμενος, τὸ τῆς σαρκὸς ἐνέκρωσας φρόνημα, ἐγκρατείας πόνοις, Ἐφραὶμ παμμακάριστε· τὴν δὲ ψυχὴν κατοικητήριον, καὶ καθαρώτατον σκήνωμα, τῆς Παναγίας Τριάδος εἰργάσω, ὡς φωτὸς θείου πλήρης· καὶ τοῦ σκότους τὸν ἄρχοντα, δι' ἀνημέρων βαρβάρων, λυσσωδῶς προσβαλόντα σοι, κραταιῶς ἀπεκρούσω, ἐν τῷ ἐνδυναμοῦντί σε Χριστῷ· καὶ ὡς χρυσὸς ἐν καμίνῳ, πολυειδέσι βασάνοις δοκιμασθείς, τῷ ξύλῳ τῆς ζωῆς ἀποκατέστης, μαρτυρικῆς εὐκλείας ἀξιούμενος, καὶ πᾶσιν αἰτούμενος, εἰρήνην καὶ θεῖον ἔλεος.



*Ἦχος γ'.*

**Ὁσιότητι** ἐμπρέπων, καὶ τῷ Θεῷ ἀμέμπτως ἱερουργῶν, ὡς ἱερεὺς τῆς χάριτος εὐπρόσδεκτος Ὅσιε, ὡς θυσίαν καθαράν, καὶ προσφορὰν τελείαν, τὴν ἐν ἀσκήσει ζωήν, καὶ τὴν ἐν ἀθλήσει στερρότητα, Χριστῷ προσενήνοχας· βαρβαρικαῖς γὰρ χερσὶ συσχεθείς, οὐκ ἐφείσω τῆς προσκαίρου ζωῆς, πρὸς τὴν αἰώνιον ζωὴν κατεπειγόμενος· καὶ μαρτυρικῇ κοσμηθεὶς λαμπρότητι, πρὸς τὸν νυμφῶνα τῆς ἄνω δόξης ἀνέδραμες, Μεγαλομάρτυς Ἐφραὶμ μακάριε· ὅθεν τοῖς τελοῦσι τὴν μνήμην σου, αἴτει ἱλασμὸν παρὰ Θεοῦ καὶ μέγα ἔλεος.

*Ἦχος δ'.*

**Τοῖς πάλαι** Ὁσίοις ἁμιλληθεὶς καὶ Μάρτυσι, καὶ τῶν ἀγώνων κοινωνήσας αὐτοῖς, τῆς κατ' αὐτοὺς χάριτος μετέσχες, ἐν τῇ ἀφθόνῳ δωρεᾷ, τοῦ Παρακλήτου δοξασθείς, Ἐφραὶμ παμμακάριστε, Θεοῦ θεράπων γνήσιε· ὅθεν ἐνεργῶν ἐν τοῖς θαύμασι, πανταχοῦ προφθάνεις καλούμενος· καὶ κατ' ὄναρ καὶ ὕπαρ παραδόξως φαινόμενος, σωστικὴν βοήθειαν παρέχεις, τοῖς ἐν ἀνάγκαις τελοῦσιν. Ἀλλὰ πρέσβευε Ἅγιε, ταύτην τὴν Μονήν σου ἀπήμαντον τηρεῖσθαι, καὶ τοῖς σὲ τιμῶσι διδόναι, πταισμάτων συγχώρησιν.

*Δόξα. Ἦχος β'.*

**Τὴν ἐν ἀσκήσει ζωήν σου,** ὁ τῆς δόξης προσηκόμενος Κύριος, ἀθλητικῆς εὐκλείας σε ἠξίωσεν, Ἐφραὶμ Πάτερ Ὅσιε· ἀγγελικῶς γὰρ βιοτεύων, καὶ πρὸς τὸ πρῶτον ἀναγόμενος ἀξίωμα, τῇ τῶν κρειττόνων ἐργασίᾳ, ἐπιδρομέων ἰταμωτάτων, οὐκ ἔπτη-

www.tezaurliturgic.ro



ξας τὴν ρύμην· ἀλλ᾽ ὡς ἀρνίον ἄκακον, δίκην λύκων ὑπ᾽ αὐτῶν σπαραχθείς, τῇ κεφαλῇ τῶν ὅλων Χριστῷ, τελεώτερον προσηρμόσθης· καὶ τοῦ πόθου εὑρὼν τὴν πλήρωσιν, μὴ παύσῃ ἱλεούμενος ἡμῖν, τὸν σὲ δοξάσαντα Κύριον.

**Καὶ νῦν.** Τῆς Ἑορτῆς.
Εἰς τὸν Στίχον Στιχηρὰ **Προσόμοια.**
*Ἦχος πλ. α'.* **Χαίροις ἀσκητικῶν.**

**Χαίροις Ἱερομάρτυς Ἐφραίμ,** ὁ ἐκ νεότητος σ᾽ αὐτὸν ἀναθέμενος, καρδίᾳ τελειοτάτῃ, τῷ παντεπόπτῃ Θεῷ, κοσμικὴν ἀπάτην βδελυξάμενος· ἐντεῦθεν ἰσάγγελον, πολιτείαν ἐζήλωσας, δι᾽ ἐγκρατείας, καὶ συντόνου δεήσεως, ἐνδιαίτημα, ἀπαθείας γενόμενος· ὅθεν Μαρτύρων σκάμματα, ὑπῆλθες ὡς ἄσαρκος, ὑπὸ βαρβάρων ἀνόμων, σφαγιασθεὶς ἀπηνέστατα. Καὶ νῦν ἐκδυσώπει, τοῖς τιμῶσί σε δοθῆναι, τὸ μέγα ἔλεος.

Στίχ. Τίμιος ἐναντίον Κυρίου ὁ θάνατος τοῦ Ὁσίου αὐτοῦ.

**Χαίροις Μεγαλομάρτυς Ἐφραίμ,** ὁ τῶν Ὁσίων κοινωνὸς καὶ ὁμότροπος, Μαρτύρων ἐν πᾶσιν ἴσος, ὡς τὴν ἀνδρείαν αὐτῶν, καρτερεῖς ἀγῶσιν ἐνδειξάμενος· ἀστὴρ ὁ πολύφωτος, ἀρετῶν τῆς ἀσκήσεως, ὁ ἐκ τοῦ ὄρους, τῶν Ἀμώμων τοῖς πέρασι, τῶν ἰάσεων, καὶ θαυμάτων τὰς χάριτας, πᾶσιν ἐκλάμπων Ἅγιε, καὶ λύων σκοτόμαιναν, παθῶν καὶ πάσης ἀνάγκης, τῇ ταχυτάτῃ πρεσβείᾳ σου. Καὶ νῦν ἐκδυσώπει, τοῖς τιμῶσί σε δοθῆναι, τὸ μέγα ἔλεος.

Στίχ. Θαυμαστὸς ὁ Θεὸς ἐν τοῖς Ἁγίοις αὐτοῦ.

**Χαίροις Ὁσιομάρτυς Ἐφραίμ,** ὁ φερωνύμως ἐπευφράνας ἐν Πνεύματι, εὑρέσει τῇ παρ᾽ ἐλπίδα, τῶν



σῶν λειψάνων σοφέ, ἐξ ὧν ἀναβλύζει χάρις ἄφθονος· ἐντεῦθεν προστρέχουσι, πανταχόθεν τῇ Μάνδρᾳ σου, οἱ ἐν ἀνάγκαις, καὶ ἐν νόσοις καὶ πάθεσι, καὶ τὴν ἴασιν, παραδόξως κομίζονται. Ὅθεν εὐσήμῳ στόματι, κηρύτουσιν ἔνδοξε, τὴν σὴν θερμὴν προστασίαν, οἱ τῶν καλῶν σου τρυφήσαντες, Χριστὸν ἀνυμνοῦντες, τὸν θαυμάτων ἐνεργείαις, σὲ μεγαλύναντα.

**Δόξα.** *Ἦχος πλ. δ'.*

**Τῷ φωτὶ τῆς χάριτος,** καταυγαζόμενος Πάτερ, τῶν ἀρχόντων τοῦ σκότους τὰς ὁρμάς, ἀνδρειοτάτῃ ψυχῇ ὑπέμεινας, ὥσπερ ἄλλου πάσχοντος· καὶ τῷ Χριστῷ ὁλικῶς ἀτενίζων, σπαραττομένων τῶν μελῶν φονώσαιςχερσίν, οὐδόλως ἐφρόντισας, ἀλλ᾽ ἐβόας Κυρίῳ· Δέξαι Σῶτερ τὸ πνεῦμα μου, ὁ δι᾽ ἐμὲ ἑκουσίως παθών, καὶ πηγάσας μοι ζωὴν αἰώνιον. Καὶ νῦν Ἐφραὶμ μακάριε, ἀδιαλείπτως πρέσβευε, σώζεσθαι τοὺς σὲ μακαρίζοντας.

**Καὶ νῦν.** Τῆς Ἑορτῆς.
Νῦν ἀπολύεις, τὸ τρισάγιον, καὶ τὸ **Ἀπολυτίκιον.**
*Ἦχος α'.* **Τῆς ἐρήμου πολίτης.**

*Ἐν ὄρει τῶν Ἀμώμων ὥσπερ ἥλιος ἔλαμψας, καὶ μαρτυρικῶς θεοφόρε πρὸς Θεὸν ἐξεδήμησας, βαρβάρων ὑποστὰς ἐπιδρομάς, Ἐφραὶμ Μεγαλομάρτυς τοῦ Χριστοῦ· διὰ τοῦτο ἀναβλύζεις χάριν ἀεί, τοῖς εὐλαβῶς βοῶσί σοι· δόξα τῷ δεδωκότι σοι ἰσχύν, δόξα τῷ σὲ θαυμαστώσαντι, δόξα τῷ ἐνεργοῦντι διὰ σοῦ, πᾶσιν ἰάματα.*

Καὶ τὸ τῆς Ἑορτῆς.
**Ἀπόλυσις.**

www.tezaurliturgic.ro

# ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ

Μετὰ τὴν α'. Στιχολογίαν, **Κάθισμα.**
*Ἦχος α'.* **Τὸν τάφον σου Σωτήρ.**

**Νεόφωτος ἀστήρ,** τῇ Χριστοῦ Ἐκκλησίᾳ, Ἐφραὶμ θαυματουργέ, ἀληθῶς ἀνεδείχθης, ἀκτῖσι τῶν θαυμάτων σου, καταυγάζων τὰ πέρατα. Ὅθεν σήμερον, τῆς σῆς ἀθλήσεως μάκαρ, ἑορτάζομεν, τὴν ἑορτὴν τὴν ἁγίαν, Χριστὸν μεγαλύνοντες.

Καὶ τὸ τῆς Ἑορτῆς.

Μετὰ τὴν β'. Στιχολογίαν, Κάθισμα.
*Ἦχος δ'.* **Ὁ ὑψωθεὶς ἐν τῷ Σταυρῷ.**

**Ἐπιπεσόντων τῇ ἁγίᾳ Μονῇ σου,** Ἀγαρηνῶν οἱάπερ λύκων ἀγρίων, σὲ τοῦ Χριστοῦ ἀρνίον τὸ πραότατον, Πάτερ κατεσπάραξαν, πολυτρόποις βασάνοις· ἔνθεν ἀνελήλυθας, πρὸς οὐράνιον μάνδραν, Ὁσιομάρτυς Ἅγιε Ἐφραίμ, καὶ μαρτυρίου, ἐδέξω, διάδημα.

Καὶ τὸ τῆς Ἑορτῆς.

Μετὰ τὸν Πολυέλεον, Κάθισμα.
*Ἦχος πλ. δ'.* **Τὴν Σοφίαν καὶ Λόγον.**

**Ἐν τῷ Ὄρει Ἀμώμων ἀναδραμών,** πρὸς αἰώνια ὄρη κατὰ Δαβίδ, τὸν νοῦν σου ἀνύψωσας, διὰ βίου



λαμπρότητος, καὶ μαρτυρίου δρόμον, ἀνδρείως διήνυσας, βαρβαρικῆς μανίας, γενόμενος σφάγιον· ὅθεν διπλοῦν γέρας, ἐκ Θεοῦ ἐκομίσω, καὶ βλύζεις ἰάματα, Ἐφραὶμ Πάτερ τοῖς σπεύδουσι, τοῖς τιμίοις λειψάνοις σου· αὐτὰ γὰρ τῇ σεπτῇ σου Μονῇ, ὥσπερ πλοῦτον θεῖον ἐφανέρωσας, τοὺς πιστῶς προσιόντας, ἀεὶ ἁγιάζοντα.

Καὶ τὸ τῆς Ἑορτῆς.
Τὸ α' ἀντίφωνον τοῦ δ' ἤχου καὶ τὸ Προκείμενον.
Τίμιος ἐναντίον Κυρίου ὁ θάνατος τοῦ Ὁσίου αὐτοῦ.
Στίχ. Θαυμαστὸς ὁ Θεὸς ἐν τοῖς Ἁγίοις αὐτοῦ.
**Εὐαγγέλιον** κατὰ Ματθαῖον.
Ζήτει. τῇ ε'. Δεκεμβρίου, τοῦ Ἁγ. Σάββα.

Εἶπεν ὁ Κύριος τοῖς ἑαυτοῦ Μαθηταῖς· Πάντα μοι παρεδόθη ὑπὸ τοῦ Πατρός μου· καὶ οὐδεὶς ἐπιγινώσκει τὸν Υἱόν, εἰ μὴ ὁ Πατήρ· οὐδὲ τὸν Πατέρα τις ἐπιγινώσκει, εἰμὴ ὁ Υἱός, καὶ ᾧ ἐὰν βούληται ὁ Υἱὸς ἀποκαλύψαι. Δεῦτε πρός με πάντες οἱ κοπιῶντες καὶ πεφορτισμένοι, κἀγὼ ἀναπαύσω ὑμᾶς. Ἄρατε τὸν ζυγόν μου ἐφ' ὑμᾶς, καὶ μάθετε ἀπ' ἐμοῦ, ὅτι πρᾶός εἰμι, καὶ ταπεινὸς τῇ καρδίᾳ, καὶ εὑρήσετε ἀνάπαυσιν ταῖς ψυχαῖς ὑμῶν. Ὁ γὰρ ζυγός μου χρηστός, καὶ τὸ φορτίον μου ἐλαφρόν ἐστιν.

Ὁ Ν'. Δόξα. Ταῖς τοῦ σοῦ Ὁσίου, πρεσβείαις Ἐλεῆμον, ἐξάλειψον τὰ πλήθη τῶν ἐμῶν ἐγκλημάτων.

Καὶ νῦν. Ταῖς τῆς Θεοτόκου, πρεσβείαις Ἐλεῆμον, ἐξάλειψον τὰ πλήθη τῶν ἐμῶν ἐγκλημάτων.

Ἰδιόμελον. *Ἦχος πλ. β'.*

Στίχ. Ἐλέησόν με ὁ Θεὸς κατὰ τὸ μέγα ἔλεός σου καὶ κατὰ τὸ πλῆθος τῶν οἰκτιρμῶν Σου, ἐξάλειψον τὰ πλήθη τῶν ἐμῶν ἐγκλημάτων.

www.tezaurliturgic.ro



**Τῆς ἀμπέλου τῆς** ζωῆς, κλῆμα ὑπάρχων, Ἐφραὶμ παναοίδιμε, τοῦ μαρτυρίου τὸν βότρυν τὸν πέπειρον, τῇ Ἐκκλησίᾳ ἐγεώργησας, καλῶς ἀγωνισάμενος. Καὶ νῦν βλυστάνεις ἡμῖν, τὸ μυστικὸν τῆς χάριτος νέκταρ, τῇ θερμῇ ἀντιλήψει σου, καὶ πρεσβεύεις ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

**Ὁ Ἱερεύς.** Σῶσον ὁ Θεὸς τὸν λαόν σου...

Εἶτα οἱ κανόνες, τῆς Ἑορτῆς, ἢ τοῦ Πάσχα, καὶ τοῦ Ἁγίου, οὗ ἡ ἀκροστιχίς.

*«Δίδου ὦ Πάτερ θείαν μοι χάριν. Γερασίμου».*

*Ὠδὴ α'. Ἦχος α'.* Σοῦ ἡ τροπαιοῦχος δεξιά.

**Δόξης** ἀπολαύων θεϊκῆς, καὶ φωτισμοῦ ἀπορρήτου πληρούμενος, λόγον μοι πρυτάνευσον, καὶ φωτισμόν μοι παράσχου πρεσβείαις σου, Ἐφραὶμ θεοφόρε, ὅπως ὑμνήσω τοὺς ἄθλους σου.

**Ἴθυνας** τὸν νοῦν σου ἐκ παιδός, τοῖς τοῦ Κυρίου προστάγμασιν Ὅσιε, πρὸς ζωὴν τὴν κρείττονα, καὶ μοναστὴς θεοφόρος καὶ ἄμωμος, ἐν Ἀμώμων Ὄρει, κατὰ Δαβὶδ ἐχρημάτισας.

**Δύναμιν** λαβὼν παρὰ Θεοῦ, βαρβαρικῆς ἰταμότητος ἔφοδον, ἀκλινῶς ὑπέμεινας, τῆς εὐσεβείας προφαίνων τὴν δύναμιν, Ἐφραὶμ θεοφόρε, ἐν τῷ στερβλοῦσθαι τὸ σῶμά σου.

Θεοτοκίον.

**Ὅλη** καθαρὰ καὶ ἐκλεκτή, τῆς ἀσθενείας ἐκλάμπουσα χάρισιν, ὤφθης Παναμώμητε, καὶ τὸν Θεὸν τῶν ἁπάντων ἐκύησας, ἐπ' εὐεργεσίᾳ, τῶν γηγενῶν σωματούμενον.

*Ὠδὴ γ'.* Ὁ μόνος εἰδώς.

**Ὑψώσας** τὸν νοῦν σου πρὸς Θεόν, ταῖς θείαις



ἀναβάσεσι, σαρκὸς τὸ φρόνημα ἀπενέκρωσας, καὶ ἀπαθείας ὤφθης κειμήλιον, πόνοις τῆς ἀσκήσεως, Ἐφραὶμ παμμακάριστε, προγυμνάζων σαὐτὸν πρὸς τὴν ἄθλησιν.

**Ὡς εἶδες** ὡς θῆρες ἀπηνεῖς, κατὰ τῆς θείας Μάνδρας σου, ἐπιπεσόντα στίφη τὰ βάρβαρα, ἔστης ἀκλόνητος καὶ ἀπτόητος, τούτων ἐπιθέσεσι, καὶ βασάνων ἔφοδον, παρ' αὐτῶν θεοφόρε ὑπέμεινας.

**Παντοίων** κολάσεων ποινάς, ὑπήνεγκας ὡς ἄσαρκος, καὶ τοῦ Βελίαρ πᾶσαν τὴν δύναμιν, τῇ ἀνενδότῳ Πάτερ ἐνστάσει σου, Ἐφραὶμ ἐξενεύρισας, καὶ Μαρτύρων στέφανον, ἐκ Θεοῦ ἐκομίσω μακάριε.

Θεοτοκίον.

**Ἁγίων** τὸν Ἅγιον Ἁγνή, ὡς οἶκος ἁγιάσματος, καὶ παρθενίας πάναγνον σκήνωμα, σαρκὸς ἐν εἴδει ἡμῖν γεγέννηκας· ὅθεν καθαγίασον, θερμῶς ἱκετεύω σε, τὴν ῥυπῶσαν Παρθένε καρδίαν μου.

**Κάθισμα.**

*Ἦχος δ'.* Ταχὺ προκατάλαβε.

***Βιώσας ὡς ἄγγελος,** ἐν ἐγκρατείᾳ πολλῇ, οἰκείοις ἐν αἵμασι, τὴν σὴν ἁγίαν στολήν, ἐφοίνιξας Ὅσιε· ὅθεν ἐν ἀμφοτέροις, ἱερῶς διαλάμπων, δίδου ἡμῖν ὑψώθεν, τῇ θερμῇ σου πρεσβείᾳ, Ἐφραὶμ Μεγαλομάρτυς, ἐν πᾶσι βοήθειαν.*

Θεοτοκίον.

**Ἀφράστως** κυήσασα, τὸν Ποιητὴν τοῦ παντός, φθορᾶς με ἀπάλλαξον, τῶν ἀκαθάρτων παθῶν, σπιλούντων με πάντοτε· ἴδε μου τὴν ὀδύνην, τῆς ψυχῆς

www.tezaurliturgic.ro



Θεοτόκε, κάθαρον δὲ τὸν νοῦν μου, νοημάτων ἐκτόπων, καὶ δίδου τῇ καρδίᾳ μου, κατάνυξιν δέομαι.

*Ὠδὴ δ'.* Ὅρος σε τῇ χάριτι.

**Τείναντες** τὸ σῶμά σου, οἱ βάρβαροι Ὅσιε, κατεδαπάνησαν αὐτό, τοῖς ἀνυποίστοις οἰκισμοῖς, σὺ δὲ πρὸς τὸν Κύριον, ἐνατενίζων καρδίας τοῖς ὄμμασι, ἀγαλλομένῃ ψυχῇ πάντα ἤνεγκας.

**Ἔχαιρες** τυπτόμενος, καὶ συντριβόμενος Ἅγιε, ὑπὲρ ἀγάπης τοῦ Χριστοῦ, ὑπ' ἀλλοφύλων δυσμενῶν, καὶ πάντα συνέτριψας, τὰ τοῦ ἀλάστορος κέντρα τοῖς πόνοις σου, Ὁσιομάρτυς Ἐφραὶμ ἱερώτατε.

**Ῥήσεων** ὡς ἤκουσε, τῶν θείων χειλέων σου, ᾗ ἐπεφάνης μυστικῶς, ὁράσει Πάτερ ἱερᾷ, τὸν τρόπον τοῦ βίου σου, καὶ τὴν σὴν κλῆσιν Ἐφραὶμ καὶ τὴν ἄθλησιν, τοῖς ἐν τῷ κόσμῳ λαμπρᾶς ἐφανέρωσε.

Θεοτοκίον.

**Θρόνος** ἀνεδείχθης, τοῦ Θεοῦ ὑψηλότατος, κατέχουσα ἐν ταῖς χερσί, ὅν περ προήγαγες σαρκί· διὸ κἀμὲ ὕψωσον, ἐκ κατωτάτου βυθοῦ παραπτώσεων, Θεογεννῆτορ πρὸς βίον ὑπέρτερον.

*Ὠδὴ ε'.* Ὁ φωτίσας τῇ ἐλλάμψει.

**Ἐπιστὰς** μετὰ τὴν θείαν τῶν λειψάνων σου εὕρεσιν, ἐνεργείᾳ ἀοράτῳ τὸ σὸν ἅγιον ὄνομα, καὶ τὴν ἄθλησίν σου τὴν στερράν, Ἐφραὶμ Ἱερομάρτυς, τοῖς ἀγνοοῦσιν ἐγνώρισας.

**Ἰαμάτων** θεῖα ρεῖθρα ἡ σορὸς τῶν λειψάνων σου, ἐπομβρίᾳ ἀναβλύζει θεοφόρε τοῦ Πνεύματος, καὶ ἰᾶται πάθη χαλεπά, Ἐφραὶμ Μεγαλομάρτυς, καὶ πᾶσαν ἄλλην ἐπήρειαν.



**Ἀοράτως** ἐπιφαίνῃ τοῖς καλοῦσι τὴν κλῆσίν σου, καὶ κατ' ὄναρ καὶ καθ' ὕπαρ καὶ παρέχεις τὴν χάριν σου· ὅθεν τῶν θαυμάτων σου σοφέ, ἡ Ἀττικὴ ἐπλήσθη, καὶ μεγαλύνει τὸν Κύριον.

Θεοτοκίον.

**Νεκρωθέντα** τῇ ἀπάτῃ τοῦ δεινοῦ πολεμήτορος, ζώωσόν με Θεοτόκε ἡ ζωὴν τὴν αἰώνιον, τέξασα ἐν σώματι ἡμῖν, καὶ πρὸς ζωὴν βελτίστην, ἀνθέλκυσόν με τὸν δείλαιον.

*Ὠδὴ στ'.* Ἐκύκλωσεν ἡμᾶς.

**Μαρτύρων** τὴν ἀνδρείαν ἐνδειξάμενος, μαρτυρικῆς λαμπρότητος, ἀνεδείχθης θεοφόρε κοινωνός, πρὸς βαρβαρικὴν γνώμην ἀπάνθρωπον, Πάτερ Ἐφραίμ, ἀκαταπλήκτως ἀντιταξάμενος.

**Ὁ νέος** ἐν Ὁσίοις τε καὶ Μάρτυσιν, Ἐφραὶμ ὁ παναοίδιμος, τοὺς πιστοὺς πρὸς εὐφροσύνην μυστικήν, πάντας συγκαλεῖται θείῳ Πνεύματι· οὗ τὴν σεπτήν, ἄθλησιν μέλψωμεν ᾄσμασιν.

**Ἰσχὺν** ἐνδεδυμένος τὴν θεόσδοτον, ὡς Μάρτυς ἐνθεώτατος, τὰς ἰάσεις τοῖς νοσοῦσι χορηγεῖς, καὶ τοῖς ἐν κινδύνοις νέμεις λύτρωσιν, Ἐφραὶμ σοφέ, τοὺς παραλύτους ἐπανορθούμενος.

Θεοτοκίον.

**Χαρὰν** τὴν ἀνεκλάλητον ἐπήγασας, τῷ ὑπὲρ φύσιν τόκῳ σου, τοῖς ἐν λύπαις καὶ ὀδύναις καὶ ποιναῖς, μόνη Θεοτόκε Ἀειπάρθενε· ὅθεν κἀμέ, τῆς αἰωνίου χαρᾶς ἀξίωσον.

**Κοντάκιον.**

*Ἦχος γ'.* Ἡ Παρθένος σήμερον.

*Ἐν τῷ Ὄρει ἤσκησας, τῷ τῶν Ἀμώμων θεό-*

www.tezaurliturgic.ro



*φρον, καὶ ἐν τούτῳ ἤνυσας, τοῦ μαρτυρίου τὸν δρόμον· ὅθεν σε, διπλοῖς στεφάνοις ὁ Ζωοδότης, ἔστεψεν, Μεγαλομάρτυς Ἐφραὶμ ἀξίως, ἐκτενῶς ἐκδυσωποῦντα, ἐλεηθῆναι τοὺς σὲ γεραίροντας.*

Ὁ Οἶκος.

**Ἀπὸ νεότητος** Χριστῷ ἀκολουθήσας Πάτερ, τὴν κοσμικὴν ἐπιφοράν, καὶ τῆς σαρκὸς τὰς ἡδονάς, ἠρνήσω ὁλοτρόπως· καὶ τῇ θείᾳ μεταρσιούμενος ἀγαπήσει, ἐν ὄρει τῶν Ἀμμώμων ἀγγελικῇ πολιτείᾳ διέλαμψας, καὶ τῆς θείας ἐνεργείας κατοικητήριον πέφηνας, ἱδρῶσιν ἀσκητικοῖς, σῶμα καὶ ψυχὴν ἐκκαθαρθείς, τῆς τῶν παθῶν ψυχοφθόρου συνοχῆς· καὶ χερσὶ μιαιφόνοις ἐπιδρομέων ἀλλοφύλων συσχεθείς, μαρτυρικὴν ἐπεδείξω στερρότητα, ποικιλοτρόπως αἰκισθείς, καὶ στρεβλώσεις ὑποστάς, καὶ βιαίως διὰ Χριστὸν θανατωθείς· ὅθεν ὁ Ζωοδότης, διπλοῖς στεφάνοις σε ἔστεψεν, Μεγαλομάρτυς Ἐφραίμ, ἐκτενῶς ἐκδυσωποῦντα, ἐλεηθῆναι τοὺς σὲ γεραίροντας.

## Συναξάριον.

**Τῇ ε΄ τοῦ αὐτοῦ μηνός, μνήμη τῆς ἀθλήσεως τοῦ Ἁγίου ἐνδόξου Ὁσιομάρτυρος Ἐφραίμ, τοῦ νεοφανοῦς καὶ θαυματουργοῦ, τοῦ ἐν τῷ κατὰ τὴν Ἀττικὴν Ὄρει τῶν Ἀμώμων ἀσκήσαντος καὶ ἀθλήσαντος κατὰ τὸν δέκατον καὶ πέμπτον αἰῶνα.**

*Στίχ. Ἀσκήσει τὴν ἄθλησιν Ἐφραὶμ συνάψας*
*Ἀξίως δεδόξασαι παρὰ Κυρίου.*
*Πέμπτῃ Ἐφραὶμ χερσὶ φονόεσσαις λυγρὸν εὕρατο μόρον.*

**Οὗτος** ἦν τῷ δεκάτῳ καὶ πέμπτῳ αἰῶνι, καὶ ἐκ νεαρᾶς ἡλικίας, δέκατον τέταρτον γὰρ ἦγεν ἐνιαυτόν, ἀφιερώθη τῷ Κυρίῳ, ἄρας ἐπ᾿ ὤμων τὸν Σταυρὸν αὐτοῦ. Καὶ ἐν Ὄρει τῶν Ἀμώμων καλουμένῳ, ὄντι ἐν τῇ Ἀττικῇ, ἐν τῇ ἐκεῖσε Μονῇ, ζήλῳ θείῳ τῶν κρειττόνων μονάσας, τοὺς ἀσκητικοὺς ἤνυεν ἀγῶνας, δι᾿ ἄκρας ἐγκρατείας, καὶ ταῖς λοιπαῖς κατὰ Χριστὸν ἀρεταῖς καθαίρων ἑαυτόν, καὶ θεοειδὴς γνωριζόμενος.



Ἀλλὰ φθόνῳ τοῦ τοῖς καλοῖς βασκαίνοντος μισοκάλου ἐχθροῦ, στῖφος ἀλλοφύλων Ἀγαρηνῶν βαρβάρων διὰ θαλάσσης ἐπιδραμόν, φθορᾷ καὶ δηῴσει καὶ λεηλασίᾳ τὰ ἐκεῖσε πάντα σὺν τῇ Μονῇ ὑπέβαλον. Τότε δὴ καὶ τὸν μακάριον Ἐφραίμ, μανίᾳ πολλῇ κρατήσαντες, φρικώδεσι τιμωρίαις καὶ βασάνοις καὶ πόνοις κατῃκίζοντο καὶ ἐσπάρασσον, ἕως οὗ βιαίῳ θανάτῳ τὴν ἑαυτοῦ ἁγίαν ψυχὴν εἰς χεῖρας Θεοῦ παρέδωκεν τῇ ε΄ Μαΐου, ἐν ἔτει σωτηρίῳ ᾳυκστ΄ (1426), ἡμέρᾳ Τρίτῃ, περὶ ὥραν θ΄.

Ταῦτα πάντα ἐτέλουν ἄγνωστα καὶ ἀφανῆ πλείστων ἐνιαυτῶν περιόδοις, κατακαλυπτόμενα τῷ βυθῷ τῆς σιωπῆς καὶ λήθης. Θείᾳ δὲ ἐπινεύσει καὶ ροπῇ, ἐν ἔτει ᾳ  ν΄ (1950), κινηθεῖσα ἡ τῆς Μονῆς ἡγουμένη, ἧς ἡ κλῆσις Μακαρία, ἐποιήσατο ἀνασκαφὰς ἐν τῇ ἐκεῖσε αὐλῇ, ἔνθα τῇ γ΄ Ἰανουαρίου μηνός, ἀνεύρατο ἐν πολλῇ ἐκπλήξει καὶ θάμβει ἱερῷ, λείψανα Ὁσίου ἀνδρός, οὐράνιον ἐκπέμποντα εὐωδίαν καὶ ὀσμήν. Διαποροῦσα καὶ εὐχομένη τίνος ἆρά εἰσιν ταῦτα, ἐφάνη αὐτῇ θαυμαστὸς καὶ ἱεροπρεπὴς μοναχός, ὅστις τὰ πάντα δῆλα πεποίηκε· τὴν κλῆσιν, τὴν βαρβαρικὴν ἐπιδρομήν, τὸ μαρτυρικὸν τέλος, ἔτι δέ, ὅτι τὰ εὑρεθέντα ὀστᾶ ἀνήκουν αὐτῷ, ὡς ἐν ἐκτενείᾳ πως ἀφηγοῦνται τῇ γ΄ Ἰανουαρίου, ἐν ᾗ

www.tezaurliturgic.ro



τελεῖται καὶ ἑορτάζεται ἡ εὕρεσις τῶν τιμίων λειψάνων τοῦ Ὁσιομάρτυρος.

Ὁ θεῖος οὗτος Μεγαλομάρτυς, δοξασθεὶς παρὰ Κυρίου, πλεῖστα θαύματα ἐνεργεῖ τοῖς ἐπικαλουμένοις αὐτόν, καὶ παντοίας νόσους θεραπεύει τοῖς προσερχομένοις τοῖς ἱεροῖς αὐτοῦ λειψάνοις, ἀποκειμένοις ἐν τῇ παρὰ τὴν Νέαν Μάκρην ἁγίᾳ αὐτοῦ Μονῇ. Καὶ κατ᾽ ὄναρ καὶ καθ᾽ ὕπαρ πολλάκις φαινόμενος, βοηθεῖ καὶ ἀρήγει τοῖς ἐν ἀνάγκαις συνεχομένοις, τῇ δεδομένῃ παρὰ Κυρίου αὐτῷ χάριτι.

***Ταῖς αὐτοῦ πρεσβείαις Χριστὲ ὁ Θεὸς ἐλέησον καὶ σῶσον ἡμᾶς. Ἀμήν.***

*Ὠδὴ ζ΄.* Σὲ νοητήν.

**Ἀσκητικόν,** διανύων Ὅσιε, ἀγῶνα πόθῳ θεϊκῷ, τοῖς ἀθλήσεως σεαυτόν, ἔβαψας τοῖς αἵμασι, καὶ ὡς θῦμα ἄμωμον, Ἐφραὶμ προσήχθης τῷ Κτίσαντι, ὡς αἰνετὸν μεγαλύνων, αὐτὸν καὶ ὑπερένδοξον.

**Ρῶσιν ἀεί,** ἐνεργείᾳ κρείττονι, ἡ τῶν λειψάνων σου σορός, ἀναβλύζει Πάτερ Ἐφραίμ, νόσους θεραπεύουσα, δαίμονας ἐλαύνουσα, καὶ εὐωδίαν οὐράνιον, ἀρωματίζει πᾶσι, τοῖς εὐλαβῶς προστρέχουσι.

**Ἰδοὺ πιστῶς,** Ἀττικῶν συστήματα, καὶ Ἀθηναῖοι εὐλαβεῖς, τῇ Μονῇ σου τῇ εὐαγεῖ, σπεύδουσιν αἰτούμενοι, τὴν πλουσίαν χάριν σου, Ἐφραὶμ Ἀγγέλων συμμέτοχε, ἣν δίδου Ὁσιομάρτυς, εὐφραίνων τὰς ψυχὰς ἡμῶν.

Θεοτοκίον.

**Νᾶμα ζωῆς,** ὡς πηγὴ ἀκένωτος, τῶν οἰκτιρμῶν τῶν θεϊκῶν, τῇ διψώσῃ μου νῦν ψυχῇ, βλῦσον Παναμώμητε, καὶ σβέσον τὸν καύσωνα, τῶν ἀμετρήτων μου θλίψεων, ἵνα ὑμνῶ Θεοτόκε, τὴν δόξαν σου τὴν ἄφραστον.



*Ὠδὴ η΄.* Ἐν καμίνῳ Παῖδες Ἰσραήλ.

**Γαυριῶντος** ἔθραυσας ἐχθροῦ, ὀφρὺν τὴν ἐπηρμένην, τῇ θείᾳ σου ταπεινώσει, ἐν τῷ θλίβεσθαι πικρῶς, παρὰ τῶν κτεινόντων σε, Εὐλογεῖτε πάντα τὰ ἔργα κραυγάζων τὸν Κύριον, καὶ ὑπερυψοῦτε, Ἐφραὶμ εἰς τοὺς αἰῶνας.

**Ἐδοξάσθης** Πάτερ ἀληθῶς, παρὰ Χριστοῦ ἀξίως, καὶ πᾶσι δεδοξασμένος, μετὰ χρόνιον ἡμῖν, ἀπόκρυψιν πέφηνας, Εὐλογεῖτε πάντα τὰ ἔργα κραυγάζων τὸν Κύριον, καὶ ὑπερυψοῦτε, Ἐφραὶμ εἰς τοὺς αἰῶνας.

**Ραντισθεὶς** τοῖς αἵμασι τοῖς σοῖς, κατέκλυσας τῶν βαρβάρων, τὸ κράτος καὶ τὴν μανίαν, τῇ στερρότητι τῆς σῆς, ψυχῆς καὶ τῇ χάριτι, καὶ ἐβόας Ἐφραὶμ ἐν τῷ θνήσκειν· Δέξαι μου τὸ πνεῦμα, Οἰκτίρμον Ζωοδότα, χερσί σου ταῖς ἀχράντοις.

Θεοτοκίον.

**Ἀπειράνδρως** τέτοκας Χριστόν, καὶ μετὰ τόκον μένεις, παρθένος ὡς πρὸ τοῦ τόκου, Ἀειπάρθενε Ἁγνή· διό σοι κραυγάζομεν· χαῖρε μόνη ἁγνείας κειμήλιον πάναγνον, Κεχαριτωμένη, εἰς πάντας τοὺς αἰῶνας.

*Ὠδὴ θ΄.* Τύπον τῆς ἁγνῆς.

**Στέφος** μαρτυρίου εἴληφας, μαρτυρικῶς σφραγίσας Πάτερ τὸν βίον σου, καὶ παρέστηκας, ζωῆς τῷ ξύλῳ γηθόμενος, αἰωνίου χαρᾶς ἀξιούμενος, Ἐφραὶμ Μεγαλομάρτυς, καὶ μετοχῇ θείᾳ θεούμενος.

www.tezaurliturgic.ro



**Ἴσος** τῶν Ὁσίων πέφηνας, ὁσιακῶς τελέσας Πάτερ τὸν βίον σου, καὶ ἰσότιμος, τῶν Ἀθλοφόρων γεγένησαι, ἐνεγκὼν τῶν βαρβάρων τὴν ἔφοδον, Ἐφραὶμ Ὁσιομάρτυς· ἔνθεν διπλῶν βραβείων ἔτυχες.

**Μνήμην** ἐκτελοῦντες σήμερον, τῆς σῆς στερρᾶς ἀθλήσεως ἐκβοῶμέν σοι· Ἀεὶ φύλαττε, πάσης ἀνάγκης καὶ θλίψεως, τὴν παροῦσαν Μονήν σου τιμῶσάν σε, Ἐφραὶμ Ὁσιομάρτυς, καὶ πᾶσι δίδου τὰ σωτήρια.

**Ὅρμῳ** γαληνῷ προσώρμησαι, τῆς αἰωνίου δόξης τε καὶ λαμπρότητος, μετὰ κλύδωνα, τῶν ἀνυποίστων κολάσεων, ὑποστὰς βιαιότατον θάνατον, Ἐφραὶμ Ἱερομάρτυς, ὑπὲρ ἡμῶν ἀεὶ δεόμενος.

Θεοτοκίον.

**Ὕψος** τοῦ ἀφράστου τόκου σου, τίς ἐξειπεῖν Παρθένε λόγος δυνήσεται; σὺ γὰρ τέτοκας, μετὰ σαρκὸς τὸν ἀσώματον, καὶ Θεὸν τῶν ἁπάντων καὶ Κύριον· διό σε Θεοτόκε, ἀκαταπαύστως μεγαλύνομεν.

**Ἐξαποστειλάριον.**

Γυναῖκες ἀκουτίσθητε.

**Ἀσκητικοῖς** παλαίσμασι, τὴν σὴν ζωὴν ἐλάμπρυνας, καὶ μαρτυρίου ἀγῶσιν, ὡς εὐωδέστατον θῦμα, καὶ προσφορὰ εὐπρόσδεκτος, Κυρίῳ προσενήνεξαι, Ἐφραὶμ ἀεὶ δεόμενος, ὑπὲρ τῶν πίστει τιμώντων, τὴν ἱερὰν ἄθλησίν σου.

Καὶ τὸ τῆς Ἑορτῆς.

**Εἰς τοὺς Αἴνους.**

Ἱστῶμεν στίχους δ', καὶ ψάλλομεν τὰ ἑξῆς **Προσόμοια:**



*Ἦχος δ'.* Ὡς γενναῖον ἐν Μάρτυσι.

**Ἐκ νεότητος** Ἅγιε, τῷ Χριστῷ ἠκολούθησας, κοσμικὴν τερπνότητα ἀπωσάμενος, καὶ πολιτείας λαμπρότητι, καὶ πόνοις ἀθλήσεως, ἐν τῷ Ὄρει τῷ σεπτῷ, τῶν Ἀμώμων διέπρεψας, καὶ ἐδόξασας, τὸν Χριστὸν ἀμφοτέροις τοῖς καμάτοις, καὶ Ἀγγέλων ταῖς χορείαις, Ἐφραὶμ παμμάκαρ ἠρίθμησαι.

**Ὡς ἀρνίον** σε ἄκακον, ἐπελθόντες οἱ βάρβαροι, οἷα θῆρες ἄγριοι κατῃκίζοντο, σὺ δὲ ἀτρέπτῳ φρονήματι, τὰ πάντα ὑπέμεινας, ἀτενίζων τῷ Χριστῷ, οὗ εἰς χεῖρας τὸ πνεῦμά σου, χαίρων δέδωκας, καὶ συνήφθης Ἁγίων ταῖς χορείαις, ὡς στερρὸς Μεγαλομάρτυς, Ἐφραὶμ ἡμῶν ἀγαλλίαμα.

**Ἐν Ὁσίοις** ὡς Ὅσιος, διαλάμπεις μακάριε, καὶ ἐν Ἀθλοφόροις ὡς Μάρτυς ἔνθεος· ἐν ἀμφοτέρων γὰρ Ἅγιε, τοῖς πόνοις ἠρίστευσας, καὶ ἐδόξασας Χριστόν· διὰ τοῦτο θαυμάτων σοι χάριν δέδωκεν, ὁ δεχθεὶς τοὺς ἁγίους σου ἀγῶνας· ὃν ἱκέτευε ἀπαύστως, Ἐφραὶμ ὑπὲρ τῶν τιμώντων σε.

**Εὐδοκίᾳ** τῇ κρείττονι, τοῦ λαμπρῶς σε δοξάσαντος, μετὰ πολυχρόνιον τὰ σὰ λείψανα, ἐν γῇ κατάκρυψιν Ὅσιε, νῦν ἐφανερώθησαν, ὥσπερ ἄνθη νοητά, εὐωδίαν οὐράνιον, ἀποπνέοντα, καὶ θαυμάτων δυνάμεις ἐνεργοῦντα, τοῖς ἐν πίστει ἐξαιτοῦσιν, Ἐφραὶμ θεόφρον τὴν χάριν σου.

**Δόξα.** *Ἦχος πλ. α'.*

**Τῆς ἀρετῆς τὴν χλαῖναν,** τῷ τῆς ἀθλήσεως αἵματι ἐφοίνιξας, Ὁσιομάρτυς Ἐφραίμ, ἀγωνισάμενος νομίμως· τὰς ἀοράτους γὰρ ἀρχάς, τοῦ σκότους

www.tezaurliturgic.ro



θριαμβεύσας, τῶν ὁρωμένων τὴν ρύμην οὐκ ἔπτηξας, τὰ ἄνω ποθῶν καὶ ζητῶν· καὶ ἐν πᾶσιν ἀριστεύσας, λαμπαδηφόρος ἀνέδραμες, ἐν τῷ νυμφῶνι τῆς ἀϊδίου ζωῆς. Ἀλλ' ὡς τοῦ θείου φωτὸς κοινωνός, σκότους παθῶν ἀπάλλαξον, τοὺς ἑορτάζοντας τὴν μνήμην σου.

Καὶ νῦν. Τῆς Ἑορτῆς, ἢ τὸ τοῦ Πάσχα.

Ἀναστάσεως ἡμέρα, καὶ λαμπρυνθῶμεν τῇ πανηγύρει, καὶ ἀλλήλους περιπτυξώμεθα. Εἴπωμεν ἀδελφοί, καὶ τοῖς μισοῦσιν ἡμᾶς· συγχωρήσωμεν πάντα τῇ Ἀναστάσει, καὶ οὕτω βοήσωμεν· Χριστὸς ἀνέστη ἐκ νεκρῶν, θανάτῳ θάνατον πατήσας, καὶ τοῖς ἐν τοῖς μνήμασι, ζωὴν χαρισάμενος.

**Δοξολογία μεγάλη καὶ ἀπόλυσις.**

## ΕΙΣ ΤΗΝ ΛΕΙΤΟΥΡΓΙΑΝ.

Τὰ συνήθη. **Ἀπόστολος.** Προκείμενον. *Ἦχος βαρύς.*

Τίμιος ἐναντίον Κυρίου ὁ θάνατος τοῦ Ὁσίου αὐτοῦ.
Στίχ. Θαυμαστὸς ὁ Θεὸς ἐν τοῖς Ἁγίοις αὐτοῦ.
Πρὸς Ρωμαίους Ἐπιστολῆς Παύλου τὸ Ἀνάγνωσμα.
Ἀδελφοί, ὅσοι Πνεύματι Θεοῦ ἄγονται... Σελὶς...
**Εὐαγγέλιον** κατὰ Ματθαῖον... Σελὶς...

**Κοινωνικόν.**
Εἰς μνημόσυνον αἰώνιον ἔσται δίκαιος. Ἀλληλούϊα.

**Μεγαλυνάριον.**

**Βίῳ διαλάμπων ἀσκητικῷ,** ἐν Ὄρει Ἀμώμων,



ἠγωνίσω μαρτυρικῶς, καὶ θαυμάτων χάριν, θεόθεν ἐκομίσω, Ἐφραὶμ Μεγαλομάρτυς, Ἀγγέλων σύσκηνε.

**Δίστιχον.**

*Εὔφρανον Ἐφραὶμ τῇ θείᾳ χάριτί σου*
*Γεράσιμον μέλψαντα τὴν ἄθλησίν σου.*



***Ὁ ἱερὸς τάφος τοῦ Μεγαλομάρτυρος Ἐφραὶμ ὅπου ἐπὶ 550 ἔτη ἐφυλάσσοντο τὰ ἅγια καὶ μυροβόλα λείψανά Του.***

www.tezaurliturgic.ro



## Κανὼν Παρακλητικὸς εἰς τὸν Ὁσιομάρτυρα **Ἅγιον Ἐφραίμ,** τὸν Θαυματουργὸν

***Ποίημα Γερασίμου Μοναχοῦ Μικραγιαννανίτου.***

Εὐλογήσαντος τοῦ Ἱερέως λέγομεν τὸν Ψαλμὸν ΡΜΒ' (142).

Κύριε, εἰσάκουσον τῆς προσευχῆς μου, ἐνώτισαι τὴν δέησίν μου ἐν τῇ ἀληθείᾳ σου, εἰσάκουσόν μου ἐν τῇ δικαιοσύνῃ σου·

Καὶ μὴ εἰσέλθῃς εἰς κρίσιν μετὰ τοῦ δούλου σου, ὅτι οὐ δικαιωθήσεται ἐνώπιόν σου πᾶς ζῶν.

Ὅτι κατεδίωξεν ὁ ἐχθρὸς τὴν ψυχήν μου· ἐταπείνωσεν εἰς γῆν τὴν ζωήν μου.

Ἐκάθισέ με ἐν σκοτεινοῖς, ὡς νεκροὺς αἰῶνος· καὶ ἠκηδίασεν ἐπ' ἐμὲ τὸ πνεῦμά μου, ἐν ἐμοὶ ἐταράχθη ἡ καρδία μου.

Ἐμνήσθην ἡμερῶν ἀρχαίων, ἐμελέτησα ἐν πᾶσι τοῖς ἔργοις σου, ἐν ποιήμασι τῶν χειρῶν σου ἐμελέτων.

Διεπέτασα πρὸς σὲ τὰς χεῖράς μου· ἡ ψυχή μου ὡς γῆ ἄνυδρός σοι.

Ταχὺ εἰσάκουσόν μου, Κύριε, ἐξέλιπε τὸ πνεῦμά μου.

Μὴ ἀποστρέψῃς τὸ πρόσωπόν σου ἀπ' ἐμοῦ, καὶ ὁμοιωθήσομαι τοῖς καταβαίνουσιν εἰς λάκκον.

Ἀκουστὸν ποίησόν μοι τὸ πρωῒ τὸ ἔλεός σου, ὅτι ἐπὶ σοὶ ἤλπισα.



Γνώρισόν μοι, Κύριε, ὁδόν, ἐν ᾗ πορεύσομαι, ὅτι πρὸς σὲ ἦρα τὴν ψυχήν μου.

Ἐξελοῦ με ἐκ τῶν ἐχθρῶν μου, Κύριε· πρὸς σὲ κατέφυγον, δίδαξόν με τοῦ ποιεῖν τὸ θέλημά σου, ὅτι σὺ εἶ ὁ Θεός μου.

Τὸ Πνεῦμά σου τὸ ἀγαθὸν ὁδηγήσει με ἐν γῇ εὐθείᾳ· ἕνεκεν τοῦ ὀνόματός σου, Κύριε, ζήσεις με.

Ἐν τῇ δικαιοσύνῃ σου, ἐξάξεις ἐκ θλίψεως τὴν ψυχήν μου, καὶ ἐν τῷ ἐλέει σου ἐξολοθρεύσεις τοὺς ἐχθρούς μου· καὶ ἀπολεῖς πάντας τοὺς θλίβοντας τὴν ψυχήν μου, ὅτι ἐγὼ δοῦλός σού εἰμι.

*Ἦχος δ'.*

Θεὸς Κύριος, καὶ ἐπέφανεν ἡμῖν· εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι Κυρίου.

Στίχ. α'. Ἐξομολογεῖσθε τῷ Κυρίῳ, καὶ ἐπικαλεῖσθε τὸ ὄνομα τὸ ἅγιον αὐτοῦ.

Θεὸς Κύριος καὶ ἐπέφανεν ἡμῖν...

Στίχ. β'. Πάντα τὰ ἔθνη ἐκύκλωσάν με, καὶ τῷ ὀνόματι Κυρίου ἠμυνάμην αὐτούς.

Θεὸς Κύριος καὶ ἐπέφανεν ἡμῖν...

Στίχ. γ'. Παρὰ Κυρίου ἐγένετο αὕτη, καὶ ἔστι θαυμαστὴ ἐν ὀφθαλμοῖς ἡμῶν.

Θεὸς Κύριος καὶ ἐπέφανεν ἡμῖν...

*Ἦχος δ'.* Ὁ ὑψωθεὶς ἐν τῷ Σταυρῷ.

**Τοῖς προσιοῦσι** τοῖς σεπτοῖς σου λειψάνοις, καὶ ἐξαιτοῦσι τὴν θερμήν σου πρεσβείαν, δίδου ἀεὶ τὴν θείαν σου ἀντίληψιν, τούτους ἐκλυτρούμενος, πειρασμῶν καὶ κινδύνων, καὶ παντοίων θλίψεων, καὶ δεινῶν νοσημάτων, Ἱερομάρτυς Ἅγιε Ἐφραίμ, ὡς τοῦ Σωτῆρος θεράπων θερμότατος.

www.tezaurliturgic.ro



**Δόξα.** Ὅμοιον.

**Τῇ ἀνευρέσει** τῶν σεπτῶν σου λειψάνων, χαρᾶς ἐπλήρωσας πιστῶν τὰς καρδίας, καὶ τὴν Μονήν σου ταύτην πλεῖον εὔφρανας, ἥτις καταφεύγουσα, τῇ σῇ χάριτι κράζει· Σύ μου εἶ προσφύγιον, καὶ θερμὸς ἀντιλήπτωρ, Ὁσιομάρτυς Ἅγιε Ἐφραίμ· διό με ῥύου, δεινῶν περιστάσεων.

Καὶ νῦν. Θεοτοκίον.

**Οὐ σιωπήσωμέν** ποτε Θεοτόκε, τὰς δυναστείας σου λαλεῖν οἱ ἀνάξιοι· εἰμὴ γὰρ σὺ προΐστασο πρεσβεύουσα, τίς ἡμᾶς ἐρρύσατο, ἐκ τοσούτων κινδύνων; τίς δὲ διεφύλαξεν, ἕως νῦν ἐλευθέρους; Οὐκ ἀποστῶμεν Δέσποινα ἐκ σοῦ· σοὺς γὰρ δούλους σώζεις ἀεί, ἐκ παντοίων δεινῶν.

Ὁ Ν' (50) Ψαλμός.

Ἐλέησόν με ὁ Θεὸς κατὰ τὸ μέγα ἔλεός σου, καὶ κατὰ τὸ πλῆθος τῶν οἰκτιρμῶν σου, ἐξάλειψον τὸ ἀνόμημά μου.

Ἐπὶ πλεῖον πλῦνόν με ἀπὸ τῆς ἀνομίας μου, καὶ ἀπὸ τῆς ἁμαρτίας μου καθάρισόν με.

Ὅτι τὴν ἀνομίαν μου ἐγὼ γινώσκω καὶ ἡ ἁμαρτία μου ἐνώπιόν μού ἐστι διὰ παντός.

Σοὶ μόνῳ ἥμαρτον, καὶ τὸ πονηρὸν ἐνώπιόν σου ἐποίησα· ὅπως ἂν δικαιωθῇς ἐν τοῖς λόγοις σου, καὶ νικήσῃς ἐν τῷ κρίνεσθαί σε.

Ἰδοὺ γὰρ ἐν ἀνομίαις συνελήφθην, καὶ ἐν ἁμαρτίαις ἐκίσσησέ με ἡ μήτηρ μου.

Ἰδοὺ γὰρ ἀλήθειαν ἠγάπησας· τὰ ἄδηλα καὶ τὰ κρύφια τῆς σοφίας σου ἐδήλωσάς μοι.

Ραντιεῖς με ὑσσώπῳ, καὶ καθαρισθήσομαι· πλυνεῖς με, καὶ ὑπὲρ χιόνα λευκανθήσομαι.



Ἀκουτιεῖς μοι ἀγαλλίασιν καὶ εὐφροσύνην· ἀγαλλιάσονται ὀστέα τεταπεινωμένα.

Ἀπόστρεψον τὸ πρόσωπόν σου ἀπὸ τῶν ἁμαρτιῶν μου, καὶ πάσας τὰς ἀνομίας μου ἐξάλειψον.

Καρδίαν καθαρὰν κτίσον ἐν ἐμοὶ ὁ Θεός, καὶ πνεῦμα εὐθὲς ἐγκαίνισον ἐν τοῖς ἐγκάτοις μου.

Μὴ ἀπορρίψῃς με ἀπὸ τοῦ προσώπου σου, καὶ τὸ Πνεῦμα σου τὸ ἅγιον μὴ ἀντανέλῃς ἀπ' ἐμοῦ.

Ἀπόδος μοι τὴν ἀγαλλίασιν τοῦ σωτηρίου σου, καὶ πνεύματι ἡγεμονικῷ στήριξόν με.

Διδάξω ἀνόμους τὰς ὁδούς σου, καὶ ἀσεβεῖς ἐπὶ σὲ ἐπιστρέψουσι.

Ρῦσαί με ἐξ αἱμάτων ὁ Θεός, ὁ Θεὸς τῆς σωτηρίας μου· ἀγαλλιάσεται ἡ γλῶσσά μου τὴν δικαιοσύνην σου.

Κύριε, τὰ χείλη μου ἀνοίξεις, καὶ τὸ στόμα μου ἀναγγελεῖ τὴν αἴνεσίν σου.

Ὅτι, εἰ ἠθέλησας θυσίαν, ἔδωκα ἄν· ὁλοκαυτώματα οὐκ εὐδοκήσεις.

Θυσία τῷ Θεῷ πνεῦμα συντετριμμένον· καρδίαν συντετριμμένην καὶ τεταπεινωμένην, ὁ Θεός, οὐκ ἐξουδενώσει.

Ἀγάθυνον, Κύριε, ἐν τῇ εὐδοκίᾳ σου τὴν Σιών, καὶ οἰκοδομηθήτω τὰ τείχη Ἱερουσαλήμ.

Τότε εὐδοκήσεις θυσίαν δικαιοσύνης, ἀναφορὰν καὶ ὁλοκαυτώματα· τότε ἀνοίσουσιν ἐπὶ τὸ θυσιαστήριόν σου μόσχους.

Καὶ εὐθὺς ψάλλομεν τὸν Κανόνα, οὗ ἡ ἀκροστιχίς.

«Εὔφρανον Πάτερ ἡμᾶς σῇ δόξῃ Γερασίμου».

www.tezaurliturgic.ro



*Ὠδὴ α'.*

*Ἦχος πλ. δ'.* Ὑγρὰν διοδεύσας.

*Ἅγιε τοῦ Θεοῦ Ἐφραίμ, πρέσβευε ὑπὲρ ἡμῶν.*

**Ἐκ γῆς ὥσπερ** κρίνα ἐαρινά, ἐφάνησαν Πάτερ, τὰ σὰ λείψανα τὰ σεπτά, ὀσμὴ οὐρανίῳ τὸ δυσῶδες τῶν παθημάτων Ἐφραὶμ ἀπελαύνοντα.

*Ἅγιε τοῦ Θεοῦ Ἐφραίμ, πρέσβευε ὑπὲρ ἡμῶν.*

**Ὑψόθεν ὑπάρχων** ἐπισκοπῶν, τήν δε τὴν Μονήν σου, τὴν τιμῶσάν σε εὐλαβῶς, καὶ δίδου αὐτῇ Ἐφραὶμ παμμάκαρ, τῆς εὐλογίας τῆς σῆς χάριν τὴν ἄφθονον.

*Δόξα Πατρὶ καὶ Υἱῷ καὶ Ἁγίῳ Πνεύματι.*

**Φωτὶ τῶν ἁγίων** σου πρεσβειῶν, παθῶν τὴν ὁμίχλην, καὶ τὴν νύκτα τῶν πειρασμῶν, διάλυσον Πάτερ ἐκ τῶν πίστει, προσφευγόντων τοῖς θείοις λειψάνοις σου.

*Καὶ νῦν, καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.*

**Ρυσθῆναί με πάσης** ἐπιβουλῆς, ἐχθροῦ τοῦ ἀσάρκου, τῇ πρεσβείᾳ σου τῇ σεπτῇ, ἐνίσχυσόν με μόνη Θεοτόκε, ἵνα ὑμνῶ σου τὴν δόξαν τὴν ἄρρητον.

*Ὠδὴ γ'.* Οὐρανίας ἀψῖδος.

*Ἅγιε τοῦ Θεοῦ Ἐφραίμ, πρέσβευε ὑπὲρ ἡμῶν.*

**Ἀνατείλας ἐσχάτως,** ὥσπερ ἀστὴρ πάμφωτος, τῇ ἀποκαλύψει τῶν θείων, Πάτερ λειψάνων σου, θαῦμα λάμψεσι, φωταγωγεῖς τὰς καρδίας, τῶν αἰτούντων Ἅγιε, τὴν σὴν βοήθειαν.

*Ἅγιε τοῦ Θεοῦ Ἐφραίμ, πρέσβευε ὑπὲρ ἡμῶν.*

**Νοσημάτων παντοίων,** καὶ χαλεπῶν θλίψεων,



δρόσῳ τῆς σεπτῆς σου πρεσβείας, σβεννύεις καύσωνα· διὸ βοῶμέν σοι· σβέσον ἡμῶν τὰς ὀδύνας, ἐπομβρία Ἅγιε, τοῦ θείου Πνεύματος.

*Δόξα Πατρὶ καὶ Υἱῷ καὶ Ἁγίῳ Πνεύματι.*

**Οἱ τῇ θείᾳ σορῷ σου,** μετὰ σπουδῆς σπεύδοντες, ἴασιν κομίζονται Πάτερ, καὶ ἀπολύτρωσιν, πάσης κακώσεως· σὺ γὰρ τοῖς πᾶσι παρέχεις, οἷα συμπαθέστατος, χάριν καὶ ἔλεος.

*Καὶ νῦν, καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.*

**Νοητὸς ὤφθης θρόνος,** καὶ χρυσαυγὲς σκήνωμα τοῦ παμβασιλέως τῆς δόξης, καὶ Παντοκράτορος, Παρθένε ἄχραντε· διὸ κἀμὲ δεῖξον οἶκον, ἔργοις καθαρότητος, τῆς θείας χάριτος.

**Διάσωσον,** τοὺς προσιόντας τῇ θείᾳ σου προστασίᾳ, πάσης βλάβης καὶ νοσημάτων καὶ θλίψεων, Μεγαλομάρτυς Κυρίου Ἐφραὶμ θεόφρον.

**Ἐπίβλεψον,** ἐν εὐμενείᾳ πανύμνητε Θεοτόκε, ἐπὶ τὴν ἐμὴν χαλεπὴν τοῦ σώματος κάκωσιν, καὶ ἴασαι της ψυχῆς μου τὸ ἄλγος.

Αἴτησις παρὰ τοῦ ἱερέως, καὶ τὸ

Κάθισμα.

*Ἦχος β'.* Πρεσβεία θερμή.

**Προστάτης θερμός,** ἀρτίως ὤφθης Ἅγιε, ἐκφάνσει ἡμῖν, τῶν ἱερῶν λειψάνων σου, τοῖς πόθῳ καταφεύγουσι, θεομάκαρ Ἐφραὶμ τῇ πρεσβείᾳ σου· διὰ τοῦτο βοῶμέν σοι πιστῶς· Χριστῷ ὑπὲρ πάντων Πάτερ πρέσβευε.

*Ὠδὴ δ'.* Εἰσακήκοα Κύριε.

Ἅγιε τοῦ Θεοῦ Ἐφραίμ, πρέσβευε ὑπὲρ ἡμῶν.

www.tezaurliturgic.ro



**Πλείστοις τρόποις μακάριε,** φαίνῃ τοῖς καλοῦσι τὴν θείαν κλῆσίν σου, καὶ παρέχεις τὰ αἰτήματα τὰ πρὸς σωτηρίαν Ἐφραὶμ Ὅσιε.

*Ἅγιε τοῦ Θεοῦ Ἐφραίμ, πρέσβευε ὑπὲρ ἡμῶν.*

**Ἀσθενοῦσι τὴν ἴασιν,** καὶ τοῖς θλιβομένοις χαρὰν τὴν κρείττονα, τοῖς προστρέχουσι τῇ σκέπῃ σου, δίδου οὐρανόθεν Ἐφραὶμ Ἅγιε.

*Δόξα Πατρὶ καὶ Υἱῷ καὶ Ἁγίῳ Πνεύματι.*

**Τὴν Μονήν σου ἀπήμαντον,** ἐκ τῶν ἐπιθέσεων τοῦ ἀλάστορος, διατήρει Ἐφραὶμ Ἅγιε, τὴν ἐγκαυχομένην τοῖς λειψάνοις σου.

*Καὶ νῦν, καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.*

**Ἐκ γαστρὸς ἀνέτειλε,** τῆς δικαιοσύνης Ἁγνὴ ὁ Ἥλιος, οὗ ταῖς αἴγλαις καταλάμπρυνον, τὴν ἐσκοτισμένην μου διάνοιαν.

*Ὠδὴ ε'.* Φώτισον ἡμᾶς.

*Ἅγιε τοῦ Θεοῦ Ἐφραίμ, πρέσβευε ὑπὲρ ἡμῶν.*

**Ῥάβδῳ ἰσχυρᾷ** τῆς πρεσβείας σου ἐκδίωξον, τὸν ἀόρατον τὸν καθ' ἡμῶν, ὠρυόμενον Ἐφραὶμ καθάπερ λέοντα.

*Ἅγιε τοῦ Θεοῦ Ἐφραίμ, πρέσβευε ὑπὲρ ἡμῶν.*

**Ἤθλησας καλῶς,** καὶ ἀρτίως ἡμῖν ἔγνωσαι, τῇ ἐκφάνσει τῶν ἁγίων σου ὀστῶν ἁγιάζων τὰς ψυχὰς ἡμῶν μακάριε.

*Δόξα Πατρὶ καὶ Υἱῷ καὶ Ἁγίῳ Πνεύματι.*

**Μέγας ἀρωγός,** τῆς Μονῆς ὤφθης Ἅγιε, τῆς πλουτούσης ὥσπερ θεῖον θησαυρόν, τὰ μυρίπνοα καὶ ἅγιά σου λείψανα.



*Καὶ νῦν, καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.*

**Ἄχραντε Ἁγνή,** Θεοτόκε ἀειπάρθενε, τὴν νοσοῦσάν μου τοῖς πάθεσι ψυχήν, θεραπείας τῇ σῇ χάριτι ἀξίωσον.

*Ὠδὴ ς'.* Τὴν δέησιν ἐκχεῶ.

Ἅγιε τοῦ Θεοῦ Ἐφραίμ, πρέσβευε ὑπὲρ ἡμῶν.

**Σωμάτων** καὶ ψυχῶν ἰατῆρα, ἡ τοῦ Πνεύματος χάρις, ἐν ταῖς ἐσχάταις ἡμέραις παμμάκαρ, ἐκ γῆς λαγόνων τὰ θεῖά σου λείψανα, ἀνακαλύψασα ἡμῖν μετὰ χρόνιον Πάτερ κατάκρυψιν.

*Ἅγιε τοῦ Θεοῦ Ἐφραίμ, πρέσβευε ὑπὲρ ἡμῶν.*

**Συσφίγξας** τοῦ παραλύτου τὰ μέλη, ὑγιῆ τοῦτον ἀπέδειξας Πάτερ, καταφυγόντα τῇ θείᾳ σορῷ σου, καὶ τοῦ Κυρίου τῷ φόβῳ συνέτησας. Ὅθεν ἀπῆλθεν ἐν χαρᾷ, μεγαλύνων τὸ σὸν θαυματούργημα.

*Δόξα Πατρὶ καὶ Υἱῷ καὶ Ἁγίῳ Πνεύματι.*

**Ἡνίκα,** τῇ ἡγουμένῃ ὡράθης, ἐμφανῆ τὰ σὰ κατέστησας ταύτῃ· ἀλλὰ καὶ νῦν ποθοῦσί σε Πάτερ, τὸ σὸν ἐπίφανον ἅγιον πρόσωπον, καὶ πλήρωσον ἡμᾶς χαρᾶς, οὐρανίου Ἐφραὶμ θεοδόξαστε.

*Καὶ νῦν, καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.*

**Δοχεῖον** περιφανὲς τοῦ Ὑψίστου, καὶ Ναὸς φωτοειδὴς καθωράθης, ἐκ τῶν ἁγνῶν σου αἱμάτων Παρθένε, προαγαγοῦσα τῷ κόσμῳ ὡς ἄνθρωπον, τοῦτον, δι' ἔλεος πολύ, διὰ τοῦτο τὴν δόξαν σου.

**Διάσωσον,** τοὺς προσιόντας τῇ θείᾳ σου προστασίᾳ, πάσης βλάβης καὶ νοσημάτων καὶ θλίψεων, Μεγαλομάρτυς Κυρίου Ἐφραὶμ θεόφρον.

**Ἄχραντε,** ἡ διὰ λόγου τὸν Λόγον ἀνερμηνεύ-

www.tezaurliturgic.ro



τως, ἐπ᾽ ἐσχάτων τῶν ἡμερῶν τεκοῦσα δυσώπησον, ὡς ἔχουσα μητρικὴν παρρησίαν.

Αἴτησις παρὰ τοῦ ἱερέως, καὶ τὸ

**Κοντάκιον.**

*Ἦχος β'.* Τοῖς τῶν αἱμάτων σου.

***Τῇ φανερώσει τῶν θείων Λειψάνων σου, τὴν σὴν ἐγνώρισας πᾶσι λαμπρότητα· ἰάσεις γὰρ βρύεις ἑκάστοτε, καὶ ἀπαλλάττεις δεινῶν περιστάσεων, Ἐφραὶμ τοὺς φωνοῦντας τὴν κλῆσίν σου.***

**Προκείμενον.**

*Τίμιος ἐναντίον Κυρίου ὁ θάνατος τοῦ Ὁσίου αὐτοῦ.*

Στίχ. Τοῖς Ἁγίοις αὐτοῦ τοῖς ἐν τῇ γῇ ἐθαυμάστωσεν ὁ Κύριος.

**Εὐαγγέλιον κατὰ Ματθαῖον.**

**Εἶπεν** ὁ Κύριος τοῖς ἑαυτοῦ Μαθηταῖς· Πάντα μοὶ παρεδόθη ὑπὸ τοῦ Πατρός μου· καὶ οὐδεὶς ἐπιγινώσκει τὸν Υἱόν, εἰμὴ ὁ Πατήρ· οὐδὲ τὸν Πατέρα τις ἐπιγινώσκει, εἰμὴ ὁ Υἱός, καὶ ᾧ ἐὰν βούληται ὁ Υἱὸς ἀποκαλύψαι. Δεῦτε πρός με πάντες οἱ κοπιῶντες καὶ πεφορτισμένοι, κἀγὼ ἀναπαύσω ὑμᾶς. Ἄρατε τὸν ζυγόν μου ἐφ᾽ ὑμᾶς, καὶ μάθετε ἀπ᾽ ἐμοῦ, ὅτι πρᾷος εἰμί, καὶ ταπεινὸς τῇ καρδίᾳ· καὶ εὑρήσετε ἀνάπαυσιν ταῖς ψυχαῖς ὑμῶν. Ὁ γὰρ ζυγός μου χρηστός, καὶ τὸ φορτίον μου ἐλαφρόν ἐστιν.

**Δόξα.** *Ἦχος β'.*

Ταῖς τοῦ σοῦ Ὁσίου πρεσβείαις, Ἐλεῆμον, ἐξάλειψον τὰ πλήθη, τῶν ἐμῶν ἐγκλημάτων.



*Καὶ νῦν.*

Ταῖς τῆς Θεοτόκου, πρεσβείαις, Ἐλεῆμον, ἐξάλειψον τὰ πλήθη, τῶν ἐμῶν ἐγκλημάτων.

Στίχ. *Ἐλεῆμον, ἐλέησόν με ὁ Θεός, κατὰ τὸ μέγα ἔλεός Σου, καὶ κατὰ τὸ πλῆθος τῶν οἰκτιρμῶν Σου ἐξάλειψον τὸ ἀνόμημά μου, καὶ τὸ Προσόμοιον.*

*Ἦχος πλ. β'.* Ὅλην ἀποθέμενοι.

**Ἤνεγκας στερρότατα,** ἐπιδρομὴν τῶν βαρβάρων, καὶ Μάρτυς ἀήττητος, ὤφθης τοῦ Παντάνακτος Ἐφραὶμ Ἅγιε, καὶ χαρὰν κρείττονα, τοῖς πιστοῖς παρέσχες, τῇ εὑρέσει τῶν Λειψάνων σου, δι᾽ ὧν διώκεται, πᾶσα τοῦ βελίαρ ἐπήρεια, καὶ νόσοι θεραπεύονται, καὶ ψυχῶν ἰῶνται τὰ τραύματα. Ὅθεν σοι βοῶμεν· μὴ παύσῃ ἱκετεύων τὸν Χριστόν, πᾶσι δοθῆναι συγχώρησιν, καὶ ζωὴν γαλήνιον.

**Ὁ ἱερεύς·** Σῶσον ὁ Θεὸς τὸν λαόν σου...

*Ὠδὴ ζ'.* Οἱ ἐκ τῆς Ἰουδαίας.

***Ἅγιε τοῦ Θεοῦ Ἐφραίμ, πρέσβευε ὑπὲρ ἡμῶν.***

**Οὐρανόθεν θεόφρον,** ἀφικόμενος ὧδε τῇ θείᾳ Μάνδρᾳ σου, ὁρᾶσαι παραδόξως, ποικίλαις ἐμφανείαις, καὶ πληροῖς τὰ αἰτήματα, Ὁσιομάρτυς Ἐφραίμ, τῶν σὲ ὑμνολογούντων.

***Ἅγιε τοῦ Θεοῦ Ἐφραίμ, πρέσβευε ὑπὲρ ἡμῶν.***

**Ξενοτρόπως κατ᾽ ὄναρ,** καὶ καθ᾽ ὕπαρ παμμάκαρ ἐμφανιζόμενος, χαρὰν καὶ εὐφροσύνην, καὶ πᾶσαν ἄλλην δόσιν, ἀγαθὴν δίδως Ἅγιε, τοῖς εὐφημοῦσιν Ἐφραὶμ τὴν ἱερὰν ζωήν σου.

***Δόξα Πατρὶ καὶ Υἱῷ καὶ Ἁγίῳ Πνεύματι.***

**Ἡ ἁγία Μονή σου,** ὡς ἁγίασμα θεῖον καὶ δῶρον

www.tezaurliturgic.ro



ἅγιον, τὰ θεῖα Λείψανά σου, Ἐφραὶμ καταπλουτοῦσα ἁγιάζει σῇ χάριτι, τοὺς πανταχόθεν αὐτῇ πιστῶς προσερχομένους.

*Καὶ νῦν, καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.*

**Γεωργίᾳ ἀΰλῳ** τῆς σεπτῆς σου πρεσβείας Θεοχαρίτωτε, βλαστάνειν τὴν ψυχήν μου, καρποὺς τῆς μετανοίας, Θεοτόκε ἀξίωσον, ὡς ἂν τῆς ἄνω ζωῆς, μετὰ τὸ τέλος τύχω.

*Ὠδὴ η'. Τὸν Βασιλέα.*

*Ἅγιε τοῦ Θεοῦ Ἐφραίμ, πρέσβευε ὑπὲρ ἡμῶν.*

**Εὔφρανον Πάτερ,** εὐφραντικῇ ἀρωγῇ σου, τοὺς στενάζοντας ἐν λύπαις καὶ ἀνάγκαις, τούτους ἀπαλλάτων, Ἐφραὶμ πάσης πικρίας.

*Ἅγιε τοῦ Θεοῦ Ἐφραίμ, πρέσβευε ὑπὲρ ἡμῶν.*

**Ρανίσι θείαις** τῶν πρεσβειῶν θεόφρον, παφλάζουσαν ὀδύνην τῆς ψυχῆς μου, σβέσον καὶ παράσχου, ἀναψυχήν μοι θείαν.

*Δόξα Πατρὶ καὶ Υἱῷ καὶ Ἁγίῳ Πνεύματι.*

**Ἁγίων δήμοις,** συναυλιζόμενος Πάτερ, καθικέτευε σὺν τούτοις θεοφόρε, ὑπὲρ τῶν τιμώντων, τὰ θεῖα Λείψανά σου.

*Καὶ νῦν, καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.*

**Σῶσόν με Κόρη,** τῆς τοῦ ἐχθροῦ δυναστείας, καὶ ἀπόπλυνον τὸν ρυπωθέντα νοῦν μου, ταῖς τῆς ἁμαρτίας, ἐννοίαις τε καὶ ἔργοις.

*Ὠδὴ θ'.* Κυρίως Θεοτόκον.

*Ἅγιε τοῦ Θεοῦ Ἐφραίμ, πρέσβευε ὑπὲρ ἡμῶν.*

**Ἰάτρευσον παμμάκαρ,** πάσης καχεξίας, τοὺς



προσιόντας τοῖς θείοις Λειψάνοις σου, Ὁσιομάρτυς Κυρίου Ἐφραὶμ μακάριε.

*Ἅγιε τοῦ Θεοῦ Ἐφραίμ, πρέσβευε ὑπὲρ ἡμῶν.*

**Μονὴν σου τὴν ἁγίαν,** φύλαττε ἀπαύστως, ταῖς θαυμασταῖς προστασίαις σου Ἅγιε, ἐπινοιῶν τοῦ βελίαρ καὶ πάσης θλίψεως.

*Δόξα Πατρί, καὶ Υἱῷ καὶ Ἁγίῳ Πνεύματι.*

**Ὁ νέος ἐν Ἁγίοις,** ὡς φανεὶς ἀρτίως, θαυματοφόρε Ἐφραὶμ ἀξιάγαστε, ρύου κἀμὲ τῆς μανίας τοῦ πολεμήτορος.

*Καὶ νῦν, καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.*

**Ὑπέρτερον τὸν νοῦν μου,** δεῖξον Θεοτόκε, ἐκ λογισμῶν χαμαιζήλων τοῦ χείρονος, καὶ τὴν καρδίαν θείας ἐλλάμψεως.

*Ἄξιόν ἐστιν ὡς ἀληθῶς μακαρίζειν Σε τὴν Θεοτόκον, τὴν ἀειμακάριστον καὶ παναμώμητον καὶ μητέρα τοῦ Θεοῦ ἡμῶν. Τὴν τιμιωτέραν τῶν Χερουβίμ, καὶ ἐνδοξοτέραν ἀσυγκρίτως τῶν Σεραφίμ, τὴν ἀδιαφθόρως, Θεὸν Λόγον τεκοῦσαν· τὴν ὄντως Θεοτόκον, Σὲ μεγαλύνομεν.*

**Καὶ τὰ Μεγαλυνάρια.**

**Χαίροις** ὁ ἀθλήσας πάλαι στερρῶς, καὶ γνωσθεὶς ἀρτίως, Ἐκκλησίᾳ τῇ τοῦ Χριστοῦ, τῇ ἀνακαλύψει τῶν θείων σου Λειψάνων, Ἐφραὶμ Ἱερομάρτυς ἀξιοθαύμαστε.

**Ὤφθης** καὶ ἐδήλωσας ἐμφανῶς, τὴν κλῆσιν σου Πάτερ, καὶ τὸ τέλος σου τὸ σεπτόν· ὅθεν προσκυνοῦντες, τὰ θεῖα Λείψανά σου, Ἐφραὶμ Ὁσιομάρτυς, χάριν λαμβάνομεν.

www.tezaurliturgic.ro



**Ἄγνωστος** ἐτέλεις χρόνοις πολλοῖς, καὶ τῇ φανερώσει, τῶν Λειψάνων σου τῶν σεπτῶν, ἔδειξας τῷ κόσμῳ, τὴν σὴν πλουσίαν χάριν, θαυμάτων ἐνεργείας, Ἐφραὶμ μακάριε.

**Χαίροις** τῶν Ὁσίων ὁ κοινωνός, χαίροις τῶν Μαρτύρων, ὁ ζηλώσας τὴν ἀρετήν· χαίροις ὁ ἐν ὄρει, Ἀμώμων διαπρέψας, Ἐφραὶμ Μεγαλομάρτυς, διπλοῖς ἐν σκάμμασι.

**Χάριν** ἀναβλύζεις θείᾳ ῥοπῇ, καὶ τοὺς ἀσθενοῦντας, θεραπεύει ἡ σὴ σορός· ὅθεν οἱ τῇ θείᾳ Μονῇ σου προσιόντας, καρποῦνται τὴν ὑγείαν, ψυχῆς καὶ σώματος.

**Ἔχων** παρρησίαν πρὸς τὸν Χριστὸν, Ἐφραὶμ θεοφόρε, καθικέτευε ἐκτενῶς, ὑπὲρ τῆς Μονῆς σου, τῇ σοὶ ἀνακειμένης, καὶ πάντων τῶν ζητούντων, τὴν σὴν ἀντίληψιν.

**Πᾶσαι** τῶν Ἀγγέλων αἱ στρατιαί, Πρόδρομε Κυρίου Ἀποστόλων ἡ δωδεκάς, οἱ Ἅγιοι πάντες μετὰ τῆς Θεοτόκου, ποιήσατε πρεσβείαν εἰς τὸ σωθῆναι ἡμᾶς.

Ἅγιος ὁ Θεός, ἅγιος Ἰσχυρός, ἅγιος Ἀθάνατος ἐλέησον ἡμᾶς (ἐκ γ').

Δόξα Πατρὶ καὶ Υἱῷ καὶ Ἁγίῳ Πνεύματι, καὶ νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Παναγία Τριάς, ἐλέησον ἡμᾶς. Κύριε, ἱλάσθητι ταῖς ἁμαρτίαις ἡμῶν. Δέσποτα, συγχώρησον τὰς ἀνομίας ἡμῖν. Ἅγιε, ἐπίσκεψαι καὶ ἴασαι τὰς ἀσθενείας ἡμῶν ἕνεκεν τοῦ ὀνόματός σου. Κύριε, ἐλέησον· Κύριε, ἐλέησον· Κύριε, ἐλέησον.

**Δόξα... Καὶ νῦν...**

Πάτερ ἡμῶν ὁ ἐν τοῖς οὐρανοῖς ἁγιασθήτω τὸ ὄνομά σου. Ἐλθέτω ἡ βασιλεία σου. Γενηθήτω τὸ θέλημά σου, ὡς ἐν οὐρανῷ καὶ ἐπὶ τῆς γῆς. Τὸν ἄρτον ἡμῶν τὸν ἐπιούσιον δὸς ἡμῖν σήμερον. Καὶ ἄφες ἡμῖν τὰ ὀφειλήματα ἡμῶν ὡς καὶ ἡμεῖς ἀφίεμεν τοῖς ὀφειλέταις ἡμῶν. Καὶ μὴ εἰσενέγκῃς ἡμᾶς εἰς πειρασμόν, ἀλλὰ ῥῦσαι ἡμᾶς ἀπὸ τοῦ πονηροῦ.



**Ὁ Ἱερεύς.**

Ὅτι Σοῦ ἐστιν ἡ βασιλεία καὶ ἡ δύναμις καὶ ἡ δόξα τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ τοῦ Ἁγίου Πνεύματος, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

**Κατόπιν τὰ Τροπάρια.**

*Ἦχος πλ. β'.*

**Ἐλέησον** ἡμᾶς, Κύριε, ἐλέησον ἡμᾶς· πάσης γὰρ ἀπολογίας ἀποροῦντες, ταύτην σοι τὴν ἱκεσίαν, ὡς Δεσπότῃ, οἱ ἁμαρτωλοὶ προσφέρομεν· Ἐλέησον ἡμᾶς.

***Δόξα Πατρί, καὶ Υἱῷ καὶ Ἁγίῳ Πνεύματι.***

**Κύριε** ἐλέησον ἡμᾶς, ἐπὶ σοὶ γὰρ πεποίθαμεν· μὴ ὀργισθῇς ἡμῖν σφόδρα, μηδὲ μνησθῇς τῶν ἀνομιῶν ἡμῶν· ἀλλ' ἐπίβλεψον καὶ νῦν ὡς εὔσπλαγχνος, καὶ λύτρωσαι ἡμᾶς ἐκ τῶν ἐχθρῶν ἡμῶν· σὺ γὰρ εἶ Θεὸς ἡμῶν, καὶ ἡμεῖς λαός σου, πάντες ἔργα χειρῶν σου, καὶ τὸ ὄνομά σου ἐπικεκλήμεθα.

***Καί νῦν, καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.***

**Τῆς εὐσπλαγχνίας** τὴν πύλην ἄνοιξον ἡμῖν, εὐλογημένη Θεοτόκε· ἐλπίζοντες εἰς σέ, μὴ ἀστοχήσωμεν· ῥυσθείημεν διὰ σοῦ τῶν περιστάσεων· σὺ γὰρ εἶ ἡ σωτηρία τοῦ γένους τῶν χριστιανῶν.

Ἡ ἐκτενὴς παρὰ τοῦ Ἱερέως, καὶ ἀπόλυσις. Μετὰ τὴν «ἀπόλυσιν» ψάλλομεν ἀργῶς τὰ κάτωθι τροπάρια.

*Ἦχος β'.* Ὅτε ἐκ τοῦ ξύλου.

*Πάντας τοὺς προσπίπτοντας πιστῶς, τοῖς σοῖς*

www.tezaurliturgic.ro



*μυριπνόοις Λειψάνοις, Ἐφραὶμ μακάριε σκέπε καὶ διέσωζε, ἐκ πάσης θλίψεως, καὶ πταισμάτων τὴν ἄφεσιν, καὶ νόσων παντοίων, αἴτησαι τὴν ἴασιν παρὰ Χριστοῦ τοῦ Θεοῦ· δίδου δὲ τὴν σὴν εὐλογίαν, τῇ σεπτῇ Μονῇ σου, θεόφρον, τῇ ἀνακειμένῃ τῇ πρεσβείᾳ σου.*

*Ἦχος πλ. δ'.*

**Δέσποινα** πρόσδεξαι, τὰς δεήσεις τῶν δούλων Σου, καὶ λύτρωσαι ἡμᾶς, ἀπὸ πάσης ἀνάγκης καὶ θλίψεως.

*Ἦχος β'.*

**Τὴν πᾶσαν** ἐλπίδα μου, εἰς Σὲ ἀνατίθημι, Μῆτερ τοῦ Θεοῦ, φύλαξόν με ὑπὸ τὴν σκέπην Σου.

Καὶ τό, *Δι' εὐχῶν τῶν Ἁγίων Πατέρων ἡμῶν, Κύριε Ἰησοῦ Χριστὲ ὁ Θεὸς ἡμῶν, ἐλέησον ἡμᾶς. Ἀμήν.*

**Δίστιχον.**

*Εὔφρανον Ἐφραὶμ θερμῇ σου ἀντιλήψει*
*Γεράσιμον δέησιν τήνδε σοι θέντα.*




## *Οἶκοι εἰκοσιτέσσαρες εἰς τὸν Ὁσιομάρτυρα καὶ Θαυματουργὸν Ἅγιον Ἐφραὶμ*

*Ποίημα Γερασίμου Μοναχοῦ Μικραγιαννανίτου.*

**Κοντάκιον.**

*Ἦχος πλ. δ' Τῇ Ὑπερμάχῳ.*

**Ὥσπερ ἀστὴρ νεοφανὴς ἡμῖν** ἀνέτειλας, τῇ φανερώσει τῶν σεπτῶν Πάτερ Λειψάνων σου, καὶ θαυμάτων ταῖς ἀκτῖσι πᾶσιν ἐκλάμπεις. Ἀλλὰ πλήρου τὰ αἰτήματα ἑκάστοτε, τῶν πιστῶς σοι προσιόντων Ἐφραὶμ Ἅγιε, καὶ βοώντων σοι· χαίροις Πάτερ μακάριε.

**Ἄγγελος ὥσπερ ἄλλος,** οὐρανόθεν ἐπέστης, καὶ ἔδειξας ἡμῖν τὴν χάριν (ἐκ γ'), δι' ἧς εὐφραίνεις πάντα πιστόν, Ὁσιομάρτυς Ἐφραὶμ θείου Πνεύματος, διό σε μακαρίζοντες, ἀναβοῶμέν σοι τοιαῦτα.

**Χαῖρε,** ὁ πάλαι καλῶς ἀθλήσας· χαῖρε, ὁ ἄρτι σ' αὐτὸν ἐκφήνας.

**Χαῖρε,** εὐφροσύνης καὶ ὁ παραίτιος· χαῖρε, οὐρανίου χαρᾶς ὁ συναίτιος.

**Χαῖρε,** ἄστρον τὸ νεόφωτον Ἐκκλησίας τοῦ Χριστοῦ· χαῖρε, ξίφος τὸ ἀμφίστομον τῆς μανίας τοῦ ἐχθροῦ.

**Χαῖρε,** ὅτι ὁσίως ἐν ἀσκήσει ἐμπρέπεις· χαῖρε, ὅτι νομίμως ἐν ἀθλήσει ἐστέφθης.

www.tezaurliturgic.ro



**Χαῖρε,** καινὸν τῆς πίστεως ἔρεισμα· χαῖρε, ἀπίστων φθορὰ καὶ ἄλγημα.

**Χαῖρε,** δι᾽ οὗ εὐσεβεῖς κραταιοῦνται· χαῖρε, δι᾽ οὗ δυσσεβεῖς καταργοῦνται.

**Χαίροις Πάτερ μακάριε.**

**Βίου σου τοῦ ὁσίου** καὶ τέλους σου τοῦ ἁγίου, ἄγνωστα τοῖς πᾶσι πρὶν ἐτέλουν, ἀλλ᾽ ἀποκαλύψει θαυμαστῇ, τῶν ἱερῶν σου Λειψάνων πανόλβιε, ἐγνώσθης ἐν τοῖς πέρασι, ἅπαντας ἐγείρεις ψάλλειν·

**Ἀλληλούϊα.**

**Γνῶσιν λαβόντες θείαν,** τῆς ἐνθέου ζωῆς σου, ἐκφάνσει τῶν ἁγίων ὀστῶν σου, αἴνεσιν προσάγομεν Θεῷ τῷ ποικίλοις σὲ δοξάσαντι θαύμασιν, Ἐφραὶμ θεομακάριστε, δι᾽ ὧν εὐφραίνεις τοὺς βοῶντάς σοι·

**Χαῖρε,** Χριστοῦ ὁ θεῖος θεράπων· χαῖρε, φωτὸς ἀΰλου θεάμων.

**Χαῖρε,** τῶν Ὁσίων ζηλώσας τὴν ἄσκησιν· χαῖρε, τῶν Μαρτύρων ζηλώσας τὴν ἄθλησιν.

**Χαῖρε,** σκεῦος καθαρότατον ἐπιπνοίας θεϊκῆς· χαῖρε, ἄνθος εὐωδέστατον εὐωδίας μυστικῆς.

**Χαῖρε,** ὅτι τὸν κόσμον νουνεχῶς ἀπηρνήσω· χαῖρε, ὅτι τὰ ἄνω θαυμαστῶς ἐπορίσω.

**Χαῖρε,** κοιμίσας τὰ κύματα· χαῖρε, νοὸς ὑψώσας τὸν ἔρωτα.

**Χαῖρε,** Χριστοῦ γεωργῶν τὴν ἀγάπην· χαῖρε, σατὰν καταργῶν τὴν ἀπάτην.

**Χαίροις Πάτερ μακάριε.**

**Δόξαν τὴν κεκρυμμένην,** ἣν θεόθεν ἐκτήσω, Ἐφραὶμ Ὁσιομάρτυς Κυρίου, ἐμφανείαις σου ταῖς ἱεραῖς, τοῖς θεασαμένοις σε ἐφανέρωσας, καὶ θαύμασιν ἐπίστωσας, τοὺς πιστῶς Κυρίῳ· βοῶντας·



**Ἀλληλούϊα.**

**Ἔλαμψας ἐν τῷ ὄρει,** πάλαι τῷ τῶν Ἀμώμων, Χριστῷ εὐαρεστήσας ὁσίως· νῦν δὲ τὴν ἁγίαν σου Μονήν, ἁγιάζεις τοῖς ἁγίοις Λειψάνοις σου, Ἐφραὶμ ἐν σοὶ χορεύουσαν καὶ βοῶσάν σοι εὐφροσύνως·

**Χαῖρε,** ὁ λύχνος τῆς ἡσυχίας· χαῖρε, ὁ τύπος τῆς ἐγκρατείας.

**Χαῖρε,** ὁ εὐφράνας πιστῶν τὴν διάνοιαν· χαῖρε, ὁ αἰσχύνας ἀπίστων τὴν ἄνοιαν.

**Χαῖρε,** ὁ φοινίξας αἵμασι τῆς ψυχῆς σου τὴν στολήν· χαῖρε, ὁ σφραγίσας σκάμμασιν ἀθλητῶν τὴν σὴν ζωήν.

**Χαῖρε,** ὅτι ὑπέστης τὴν ὁρμὴν τῶν βαρβάρων· χαῖρε, ὅτι μετέσχες ἀϊδίων στεφάνων.

**Χαῖρε,** λαμπτὴρ ὁσίας ἀσκήσεως· χαῖρε, πρηστὴρ μανίας τοῦ χείρονος.

**Χαῖρε,** χαρὰ τῆς ἁγίας Μονῆς σου· χαῖρε, φωτὸς θησαυρὸς τρισηλίου.

**Χαίροις Πάτερ μακάριε.**

**Ζάλην ἅπασαν λύων,** καὶ χαρὰν πρυτανεύων, ἐπέστης τῇ σεμνῇ Ἡγουμένῃ καὶ ταύτῃ ἐδήλωσας σαφῶς, τίς εἶ οὗ τὰ σεπτὰ ὀστᾶ ἀνεύρατο, ἡ δὲ ἔνθους γεγονυῖα, τῇ σῇ ἐκφάνσει Θεῷ ἔφη·

**Ἀλληλούϊα.**

**Ἤκουσε τῆς φωνῆς σου,** καὶ εἶδέ σε ὁμιλοῦντα, παμμάκαρ, ᾗ ὤφθης τῇ Ἡγουμένῃ σοφέ, καὶ ταύτῃ

www.tezaurliturgic.ro



τὸ σὸν ὄνομα ἐδήλωσας, καὶ τέλος σου τὸ ἅγιον· διὸ ἐβόας σοι τοιαῦτα·

**Χαῖρε,** ὁ μάρτυς ἐν τοῖς Ὁσίοις· χαῖρε, ὁ ἔνδοξος ἐν Ἁγίοις.

**Χαῖρε,** ὁ βιώσας ζωὴν τὴν ἰσάγγελον· χαῖρε, ὁ τρυγήσας καρπὸν τὸν ἀθάνατον.

**Χαῖρε,** στέφος χρυσοκόλλητον τῆς ἁγίας σου Μονῆς· χαῖρε, δένδρον εὐθαλέστατον εὐκαρπίας νοητῆς.

**Χαῖρε,** ὁ ἐν τῷ ὄρει τῶν Ἀμώμων ἀσκήσας· χαῖρε, ὁ δι' ἀγάπην τοῦ Σωτῆρος ἀθλήσας.

**Χαῖρε,** ἐχθροῦ πατήσας τὴν δύναμιν· χαῖρε, Χριστοῦ πλουτήσας τὴν ἔλαμψιν.

**Χαῖρε,** ψυχῶν ὁ καθαίρων τὸν ῥύπον· χαῖρε, πιστῶν ὁ εὐφραίνων τὸν δῆμον.

**Χαίροις Πάτερ μακάριε.**

**Θαύμασι παραδόξοις,** καὶ πολλαῖς ἐμφανείαις, κατ' ὄναρ καὶ καθ' ὕπαρ ποικίλως, τὴν σὴν δόξαν πᾶσι φανεροῖς, ἣν ἐκ Θεοῦ πάλαι ἐκτήσω Ἅγιε· διὸ τὴν σὴν λαμπρότητα, θαυμάζοντες Θεῷ βοῶμεν·

**Ἀλληλούϊα.**

**Ἴασιν ἀναβλύζει,** καὶ χαρὰν καὶ ὑγείαν, ἡ θήκη τῶν ἁγίων ὀστῶν σου, τοῖς προσιοῦσι τῇ σῇ Μονῇ, καὶ ζητοῦσιν Ἐφραὶμ τὴν σὴν βοήθειαν· ἔνθεν οἱ τῆς σῆς χάριτος, τρυφῶντες πιστῶς βοῶσι.

**Χαῖρε,** ἡ βρύσις τῶν ἰαμάτων· χαῖρε, ἡ λύσις τῶν νοσημάτων.

**Χαῖρε,** ὁ κατ' ὄναρ καὶ ὕπαρ φαινόμενος· χαῖρε, ὁ κινδύνων παντοίων ῥυόμενος.



**Χαῖρε,** ὅτι τοὺς καλοῦντάς σε ἁγιάζεις μυστικῶς· χαῖρε, ὅτι τοὺς ὁρῶντάς σε ἐπευφραίνεις θαυμαστῶς.

**Χαῖρε,** ὁ θεραπεύων τὰ ἀνίατα πάθη· χαῖρε, ὁ ἀπελαύνων τῶν δαιμόνων τὰ ἄχθη.

**Χαῖρε,** ὁ ὀφθεὶς πολλοῖς ὡς ἠθέλησας· χαῖρε, ὁ διδοὺς χαρὰν οὓς ἐπέλεξας.

**Χαῖρε,** σκηνῆς οὐρανίου οἰκήτωρ· χαῖρε, ἡμῶν θερμὸς ἀντιλήπτωρ.

**Χαίροις Πάτερ μακάριε.**

**Κήρυκες γεγονότες,** τῶν πολλῶν σου θαυμάτων, οἱ τῆς σῆς τυχόντες εὐποιΐας, πιστῶν ἐπτέρωσαν τὰς ψυχάς· ἔνθεν πλεῖστοι τῇ Μονῇ σου προστρέχουσι, καὶ δρέπονται τὴν χάριν σου, ἐκ τῶν Λειψάνων σου βοῶντες·

**Ἀλληλούϊα.**

**Λάμπων ὡς ἄλλος λύχνος,** οὐρανόφωνος ὤφθης, ἐν ὄρει τῶν Ἀμώμων ἀρτίως γνωσθεὶς τῇ Ἐκκλησίᾳ Χριστοῦ, τῇ ἐκκαλύψει τῶν θείων Λειψάνων σου, ὁ πρώην τελῶν ἄγνωστος, καὶ πάντας συγκινεῖς βοᾶν σοι·

**Χαῖρε,** ἡ στήλη ὁσίων πόνων· χαῖρε, τὸ κλῆμα ἐνθέων νόμων.

**Χαῖρε,** ἑωσφόρος Χριστοῦ ὁ νεόφωτος· χαῖρε, Ἐκκλησίας κρηπὶς ἡ νεότευκτος.

**Χαῖρε,** τύπος ἐνθεότατος ἀρετῶν ἀσκητικῶν· χαῖρε, πέτρα ἡ στερέμνιος ἄθλων τῶν μαρτυρικῶν.

**Χαῖρε,** ὅτι νομίμως τοῖς τυράννοις ἀντέστης· χαῖρε, ὅτι ἐνδόξως τῷ Κυρίῳ μετέστης.

www.tezaurliturgic.ro



**Χαῖρε,** Χριστοῦ ὁρῶν τὴν λαμπρότητα· χαῖρε, αὐτοῦ ὑμνῶν τὴν χρηστότητα.

**Χαῖρε,** ψυχῆς τὴν ἀνδρείαν ἐκφαίνων· χαῖρε, ἐχθρῶν τὴν μανίαν ἐκτρέπων.

**Χαίροις Πάτερ μακάριε.**

**Μένων ἐγκεκρυμμένος,** ἐν ἐτῶν περιόδοις, πολλῶν ὑπὸ τὴν γῆν θεοφόρε, ἀρτίως εὐδοκίᾳ Θεοῦ, ἐγνώσθης ἡμῖν ὡς θησαυρὸς ἅγιος, Ἐφραὶμ καὶ τῇ σῇ χάριτι, πλουτίζεις τοὺς Χριστῷ βοῶντας·

**Ἀλληλούϊα.**

**Νέος ἥλιος ὤφθης,** τῇ Χριστοῦ Ἐκκλησίᾳ, ἐκλάμπων τῶν θαυμάτων ἀκτῖσι, καὶ λύεις τὴν νύκτα τῶν παθῶν, τῶν προσιόντων θερμῶς τῇ πρεσβείᾳ σου. Ἀλλὰ καὶ ἡμῖν Ὅσιε ἀεὶ βοῶσι·

**Χαῖρε,** ὁ βότρυς τῆς εὐφροσύνης· χαῖρε, ὁ λύτης τῆς ἀφροσύνης.

**Χαῖρε,** τῶν νοσούντων θεόσδοτος ἴασις· χαῖρε, τῶν ποικίλως πασχόντων ἡ λύτρωσις.

**Χαῖρε,** ἄνερ θεοφόρητε τῶν Ὁσίων μιμητά· χαῖρε, Μάρτυς τοῦ Παντάνακτος καὶ θεόφρον ἀθλητά.

**Χαῖρε,** ὁ τῇ ἀσκήσει τὴν ἄθλησιν συνάψας· χαῖρε, ὁ ἐν τῇ δόξῃ τῇ ἄνωθεν ἐκλάμψας.

**Χαῖρε,** παθῶν ὁ λύων τὴν ζόφωσιν· χαῖρε, καλῶν ὁ φαίνων τὴν ὄνησιν.

**Χαῖρε,** ὀφρῦν τῶν βαρβάρων πατήσας· χαῖρε, στερρῶς τὸν ἀγῶνα ἀνύσας.

**Χαίροις Πάτερ μακάριε.**

**Ξένη πέλει ἡ χάρις,** ἣν παρέχεις παμμάκαρ τοῖς



ἐπικαλουμένοις σε πᾶσιν· ἔνθεν εἰς πᾶσαν τὴν Ἀττικήν, ὁ τῶν θαυμάτων σου φθόγγος ἐξέδραμε, καὶ πάντες τοῖς Λειψάνοις σου, προστρέχουσι Θεῷ βοῶντες·

**Ἀλληλούϊα.**

**Ὅλος λελαμπρυσμένος,** θεϊκαῖς ἀγλαΐαις, ἐφίστασαι τῇ θείᾳ Μονῇ σου, καὶ φαίνῃ διαφόρῳ μορφῇ, τοῖς καθαροῖς τῇ καρδίᾳ ἐν Πνεύματι, καὶ νέμεις χάριν ἄφθονον, τοῖς πόθῳ σοι βοῶσι·

**Χαῖρε,** τὸ κλέος τῶν μοναζόντων· χαῖρε, ὁ στύλος τῶν ὀρθοδόξων.

**Χαῖρε,** τῆς ἀΰλου εὐκλείας θησαύρισμα· χαῖρε, τῆς ἐξ ὕψους σοφίας ἐναύλισμα.

**Χαῖρε,** ἄρωμα οὐράνιον χάριτος τῆς θεϊκῆς· χαῖρε, μύρον πολυσύνθετον ἀγωγῆς ἀσκητικῆς.

**Χαῖρε,** ἅγιον θῦμα δι' ἀθλήσεως θείας· χαῖρε, σφάγιον θεῖον τῆς βαρβάρων μανίας.

**Χαῖρε,** ζωῆς ὁσίας ὀσφράδιον· χαῖρε, ἠθῶν ἀμέμπτων κινάμωμον.

**Χαῖρε,** ἀστὴρ ἐν τῷ ὄρει Ἀμώμων· χαῖρε, κανὼν πρακτικὸς μονοτρόπων.

**Χαίροις Πάτερ μακάριε.**

**Παραλύτους συσφίγγεις,** δαιμονῶντας ἰᾶσαι, καὶ πλήθη τὰ δυσίατα παύεις· ἐντεῦθεν Ἀθηναίων πληθύς, καὶ Πειραιεῖς καὶ περιχώρων ὅμιλοι, τῇ σῇ Μονῇ Πάτερ σπεύδουσιν, ὑμνοῦντές σε καὶ βοῶντες·

**Ἀλληλούϊα.**

**Ρημάτων σου τῶν θείων,** ὡς σὲ εἶδεν, ἐκλάμ-

www.tezaurliturgic.ro



ποντα ἐν δόξῃ ἀΰλῳ ἡ εὐσεβὴς νεάνις σοφέ, καὶ τὴν σὴν προστασίαν ὡμολόγησεν, ἣν παρέχεις τῇ σῇ μονῇ βοῶσί σοι τοιαῦτα·

**Χαῖρε,** Ὁσίων καύχημα νέων· χαῖρε, Μαρτύρων εὔκλειαν φέρων.

**Χαῖρε,** τῆς Μονῆς σου προστάτης ἀκοίμητος· χαῖρε, τῶν ἁγίων Ἀγγέλων ὁ σύσκηνος.

**Χαῖρε,** ὅτι ἐθεράπευσας ἀσθενοῦντας χαλεπῶς· χαῖρε, ὅτι τὸν παράλυτον ἠνόρθωσας θαυμαστῶς.

**Χαῖρε,** κεφαλαλγίας διαλύσας τὸ βάρος· χαῖρε, τοῦ διαβήτου καταπαύσας τὸ πάθος.

**Χαῖρε,** Θεοῦ χαρίτων κειμήλιον· χαῖρε, πιστῶν διάδημα τίμιον.

**Χαῖρε,** Ἐφραὶμ ἀσκητῶν ὡραιότης· χαῖρε, εἰκὼν μοναστῶν καὶ λαμπρότης.

**Χαίροις Πάτερ μακάριε.**

**Σέ, ὁράσει ἁγίᾳ,** καὶ κατ' ὄναρ καὶ ὕπαρ, ἐν τῇ σῇ μάνδρᾳ περιπολοῦντα, κατεῖδον μονάστριαι σεμναί, καὶ εὐφροσύνης πολλῆς ἐπληρώθησαν, προστάτην σε κηρύττουσαι, καὶ τῷ Θεῷ ὁμοῦ βοῶσαι.

**Ἀλληλούϊα.**

**Τὸ οὐράνιον μύρον,** τῇ ψυχῇ θησαυρίσας, εὐφραίνεις τῶν πιστῶν τὰς καρδίας, καὶ εὐωδίᾳ μυρεψικῇ, τῶν σεπτῶν σου λειψάνων ποιεῖς λάρνακα, ἀρωματίζειν Ἅγιε, τοὺς εὐλαβῶς σοι ἐκβοῶντας·

**Χαῖρε,** τῆς χάριτος μυροθήκη· χαῖρε, τῆς μάνδρας σου ἔνθεος σκέπη.

**Χαῖρε,** ἀφθαρσίας εὐώδης παράδεισος· χαῖρε, ἀπαθείας ἁγίας κυπάρισσος.



**Χαῖρε,** ὅτι καταβέβληκας τὸν ἀντίπαλον ἐχθρόν· χαῖρε, ὅτι ἐμεγάλυνας τοῖς σοῖς πόνοις τὸν Χριστόν.

**Χαῖρε,** ὁ ὑπὸ χθόνα πλεῖστα ἔτη τελέσας· χαῖρε, ὁ θείᾳ νεύσει ἐκ τῆς γῆς ἀναλάμψας.

**Χαῖρε,** ψυχῶν καθαίρων τοὺς μώλωπας· χαῖρε, δεινῶν ἐκκαίνων τοὺς σκόλοπας.

**Χαῖρε,** ἀεὶ τὰς ἰάσεις παρέχων· χαῖρε, ἡμῶν ἀεὶ προστατεύων.

**Χαίροις Πάτερ μακάριε.**

**Ὕμνησαν τὸν Σωτῆρα,** τῇ εὑρέσει θεόφρον, τῶν θείων καὶ πανσέπτων ὀστῶν σου, εὐσεβῶν οἱ δῆμοι πανδημεί, ὅτι ταῦτα ἀσινῆ διετήρησεν, ὑπὸ τὴν γῆν χρόνοις πλείοσιν, ἃ τιμῶντες Ἐφραὶμ βοῶμεν·

**Ἀλληλούϊα.**

**Φύλαττε τὴν Μονήν σου** ἀπὸ πάσης ἀνάγκης, τῇ σῇ πρὸς τὸν Σωτῆρα πρεσβείᾳ, καὶ δίδου ταύτῃ πάτερ Ἐφραίμ, τὰ τῆς εὐλογίας τῆς σῆς δωρήματα· ἰδοὺ γὰρ τῇ σῇ χάριτι, προστρέχει ἀεὶ ἐκβοῶσα.

**Χαῖρε,** ἡμῶν τὸ ἄρρηκτον τεῖχος· χαῖρε, πιστῶν ἀτίνακτος πύργος.

**Χαῖρε,** τῆς Μονῆς σου φρουρὸς ἀσφαλέστατος· χαῖρε, τῶν τεκνίων σου φύλαξ καὶ ἔφορος.

**Χαῖρε,** στήριγμα θεόσδοτον εὐλαβῶν μοναζουσῶν χαῖρε, καύχημα οὐράνιον τῶν πιστῶν ἀσκητριῶν.

**Χαῖρε,** ὅτι βραβεύεις τοῖς πιστοῖς τὰς αἰτήσεις· χαῖρε, ὅτι προσδέχῃ σῶν υἱῶν τὰς δεήσεις.

www.tezaurliturgic.ro



**Χαῖρε,** ἡμῖν ἐκφαίνων τὰ κρείττονα· χαῖρε, ἀεὶ ἐκτρέπων τὰ χείρονα.

**Χαῖρε,** Χριστῷ ὑπὲρ πάντων πρεσβεύων· χαῖρε, παθῶν τὴν ἐνέργειαν φλέγων.

**Χαίροις Πάτερ μακάριε.**

**Χάριτας ἀναβλύζεις,** καὶ πολλὴν εὐφροσύνην, καὶ θείαν ἀγαλλίασιν Πάτερ, καὶ εὐφραίνει ἡμῶν τὰς ψυχάς, καὶ καθαγιάζει ὁμοῦ τὰ σώματα, ἡ θήκη τῶν λειψάνων σου, τῶν ἐκβοώντων τῇ Τριάδι·

**᾿Αλληλούϊα.**

**Ψάλλοντες ἐν αἰνέσει,** τοὺς ἀγῶνάς σου Πάτερ, ὑμνοῦμεν τὴν δοθεῖσάν σοι χάριν καὶ παρεστῶτες τῇ σῇ σορῷ, τὴν προστασίαν σου ἐπιβιώμεθα, ἣν δίδου ἡμῖν Ἅγιε, ὡς ἂν ἀεί σοι ἐκβοῶμεν·

**Χαῖρε,** ἰσότιμος τῶν Ὁσίων· χαῖρε, συνόμιλος τῶν Μαρτύρων.

**Χαῖρε,** ἀϊδίων στεφάνων ὁ μέτοχος· χαῖρε, τρισηλίου ἐλάμψεως ἔμπλεως.

**Χαῖρε,** γέρας πολυτίμητον τῆς ἁγίας σου Μονῆς· χαῖρε, θέμεθλος νεόδμητος Ἐκκλησίας τῆς σεπτῆς.

**Χαῖρε,** ὁ κατευφράνας τῶν πιστῶν τὰς χορείας· χαῖρε, ὁ ἀναφήνας ἀναβάσεις ἁγίας.

**Χαῖρε,** δι' οὗ ἀνίας ρυσθήσομαι· χαῖρε, δι' οὗ παθῶν ἰαθήσομαι.

**Χαῖρε,** πιστῶν πρὸς Χριστὸν ὁ μεσίτης· χαῖρε, κἀμοῦ ἐν ταῖς θλίψεσι ρύστης.

**Χαίροις Πάτερ μακάριε.**

**Ὦ τρισόλβιε πάτερ,** Ἐφραὶμ Ὁσιομάρτυς, τῶν



πάλαι Ἁγίων συμπολῖτα (ἐκ γ'), σὺν αὐτοῖς δυσώπει τὸν Χριστόν, ὡς ἂν ποικίλων ρυόμεθα θλίψεων, καὶ ζωῆς τῆς μελλούσης τύχωμεν οἱ τῷ Θεῷ βοῶντες·

**᾿Αλληλούϊα.**

Καὶ αὖθις τὸ **Κοντάκιον.**

*Ἦχος πλ. δ'.* Τῇ ὑπερμάχῳ.

*Ὥσπερ ἀστὴρ νεοφανὴς ἡμῖν ἀνέτειλας, τῇ φανερώσει τῶν σεπτῶν Πάτερ Λειψάνων σου, καὶ θαυμάτων ταῖς ἀκτῖσι πᾶσιν ἐκλάμπεις. Ἀλλὰ πλήρου τὰ αἰτήματα ἑκάστοτε, τῶν πιστῶς σοι προσιόντων Ἐφραὶμ Ἅγιε, καὶ βοώντων σοι· χαίροις Πάτερ μακάριε.*

**Δίστιχον.**

*Ἐφραὶμ χαρὰν δίδου μοι τὴν οὐρανίαν*
*Γερασίμῳ χαῖρέ σοι ἀναβοῶντι.*



www.tezaurliturgic.ro



**Ἐγκώμια εἰς τὸν Ἅγιον Ὁσιομάρτυρα Ἐφραὶμ τὸν νέον εἰς στάσεις γʹ. ὧν ἡ ἀκροστιχὶς κατ᾽ ἀλφάβητον.**

ΣΤΑΣΙΣ Αʹ.

*Ἦχος πλ. αʹ. Ἡ ζωὴ ἐν τάφῳ.*

Μακαρίζομέν σε Θεοφόρε Ἐφραίμ, τὸν ἐν ὄρει τῶν Ἀμώμων ἀσκήσαντα, καὶ ἀθλήσαντα νομίμως ἐν αὐτῷ.

Μακαρίζομέν σου, τήν ὁσίαν ζωήν, ὦ Ἐφραὶμ καὶ τὸ μακάριον τέλος σου, δι᾽ οὗ ὤφθης τῶν Μαρτύρων κοινωνός.

*Κατ᾽ ἀλφάβητον.*

Ἀσκητὴς θεόφρον, ἀνεδείχθης σοφέ, καὶ ἀθλήσει τὴν ζωήν σου ἐσφράγισας· διὰ τοῦτό σε γεραίρομεν Ἐφραίμ.

Βασιλεῖ τῶν ὅλων, σεαυτὸν ὁλικῶς, ἀναθέμενος Ἐφραὶμ παμμακάριστε, ἐδοξάσθης παρ᾽ αὐτοῦ θεοπρεπῶς.

Γεωργῶν ἐν ὄρει, τῶν Ἀμώμων Ἐφραίμ, ἀρετῶν καρποφορίαν τὴν ἔνθεον, δι᾽ ἀθλήσεως ἐδόξασας Χριστόν.

Δόξης θείας Πάτερ, σὺν Ἀγγέλοις τρυφῶν, ἀδοξίας τῶν παθῶν ἀπολύτρωσαι, τοὺς τιμῶντάς σε Ἐφραὶμ θαυματουργέ.

Ἐνεγκὼν βαρβάρων, τὴν ὁρμὴν ἀνδρικῶς, ὡς θυσία τῷ Χριστῷ προσενήνεξαι, αἰκισθεὶς καὶ ἀπηνῶς θανατωθείς.

Ζῆν ἡμᾶς ἀμέμπτως, δὸς ἰσχὺν σαῖς λιταῖς, τοὺς προστρέχοντας Ἐφραὶμ τῇ πρεσβείᾳ σου, καὶ ἀπάλλαξον παθῶν φθοροποιῶν.

Ἡ σεπτὴ σορός σου, βρύει χάριν ἀεί, ἐνεργείᾳ τῇ τοῦ Πνεύματος Ἅγιε, καὶ ἰᾶται ἀσθενείας χαλεπάς.

www.tezaurliturgic.ro



Θαυμαστῶς ὁρᾶσαι, τῇ σεπτῇ σου Μονῇ, καὶ χαρᾶς πληροῖς Ἐφραὶμ τοὺς προστρέχοντας, καὶ προσπίπτοντας τῇ θείᾳ σου σορῷ.

Ἱλασμὸν ἐξαίτει, θεοφόρε Ἐφραίμ, τοῖς προστρέχουσι τοῖς θείοις λειψάνοις σου, καὶ πικρῶν ἀσθενειῶν ἀπαλλαγήν.

Κύνες ὡς λυσσῶντες, ἐπελθόντες ποτέ, τῇ Μονῇ σου τῶν βαρβάρων τὸ σύστημα, ὡς ἀμνόν σε κατεσπάραξαν Χριστοῦ.

Λαμπρυνθεὶς τῷ φέγγει, ἐναρέτου ζωῆς, ταῖς σοῖς αἵμασι λαμπρότερος γέγονας, καὶ προσήχθης ὥσπερ θῦμα τῷ Χριστῷ.

Μαρτυρίου δρόμον, διανύσας στερρῶς, τῶν θαυμάτων ἐδοξάσθης ταῖς χάρισι, καὶ προφθάνεις πανταχοῦ Πάτερ Ἐφραίμ.

Νέον ἄστρον ὤφθης, Ἐκκλησίας Χριστοῦ, εἰ καὶ πάλαι ἠγωνίσω ὡς ἄσαρκος, ἀλλ᾽ ἀρτίως ἐπεγνώσθης τοῖς πιστοῖς.

Ξένοις θαυμασίοις, διαλάμπεις σοφέ, καὶ παρέχεις τοῖς αἰτοῦσι τὰ πρόσφορα, πανταχοῦ ἐμφανιζόμενος Ἐφραίμ.

Οἱ μετ᾽ εὐλαβείας, τοῖς λειψάνοις τοῖς σοῖς, προσερχόμενοι Ἐφραὶμ ἀπαλλάττονται, πάσης βλάβης ἀνυμνοῦντές σε σοφέ.

Παραδόξως Πάτερ, ἐξ ἐγκάτων τῆς γῆς, ἐπεφάνης καὶ ἡμῖν ἀπεκάλυψας, τὴν σὴν κλῆσιν καὶ τὴν θείαν σου ζωήν.

Ρώμῃ θείᾳ Πάτερ, ἀσθενείᾳ σαρκός, τὰ ἀνύποιστα ὑπέστης σπαράγματα, καὶ προσήχθης τῷ Χριστῷ μαρτυρικῶς.

Σῶμά σου τὸ θεῖον, συντριβὲν ἀπηνῶς, ταῖς χερσὶ τῶν μιαιφόνων σοι πρόξενον, τῆς Μαρτύρων Πάτερ γέγονε χαρᾶς.

Τῇ σεπτῇ σορῷ σου, προσιόντες πιστῶς, τῶν ψυχῶν καὶ τῶν σωμάτων λαμβάνομεν, τὰς ἰάσεις ἀνυμνοῦντές σε Ἐφραίμ.



Ὑπὲρ πάντων Πάτερ, ἐκδυσώπει Χριστόν, τῶν αἰτούντων τὴν θερμήν σου ἀντίληψιν, ὡς ἂν εὕρωμεν παθῶν ἀπαλλαγήν.

Φωτισμοῦ ἀρρήτου, ἀπολαύων σοφέ, οἷα Μάρτυς τοῦ Χριστοῦ ἐνθεώτατος, ἡμῖν αἰτεῖ φωτισμὸν Πάτερ Ἐφραίμ.

Χαίρει ἡ Μονή σου, θησαυρὸν ἀληθῆ, κεκτημένη σου τὰ ἅγια λείψανα, καὶ γεραίρει σε ἐν ᾄσμασιν Ἐφραίμ.

*Δόξα. Τριαδικόν.*

Ψάλλοντες ὑμνοῦμεν, σὲ Τριὰς ὁ Θεός, καὶ βοῶμεν· Ταῖς Ἐφραὶμ παρακλήσεσι, πάντας οἴκτειρον ἡμᾶς ὡς ἀγαθός.

*Καὶ νῦν. Θεοτοκίον.*

Ὡς Θεὸν τεκοῦσα, καὶ παρθένος ἁγνή, φυλαχθεῖσα μετὰ τόκον Πανάχραντε, πάσης ῥῦσαί με κακίας καὶ φθορᾶς.

## ΣΤΑΣΙΣ Β΄.

***Ἦχος πλ. α΄. Ἄξιον ἐστι.***

Ἄξιόν ἐστι, μακαρίζειν σε Ὁσιομάρτυς, τὸν στερρῶς τὸν δρόμον τελέσαντα, ἐν ἀσκήσει καὶ ἀθλήσει ἱερᾷ.

Ἄξιόν ἐστι, τοῦ γεραίρειν σε Ἐφραὶμ θεόφρον, ὡς Χριστοῦ θεράποντα γνήσιον, καὶ Ὁσίων καὶ Μαρτύρων κοινωνόν.

*Κατ᾽ ἀλφάβητον.*

Ἄνωθεν ἰσχύν, ἐνδυσάμενος Ἐφραὶμ τὴν θείαν, πᾶσαν κατεπάλαισας δύναμιν, ὁρατῶν καὶ ἀοράτων δυσμενῶν.

Βίον ἱερόν, ὄρει τῶν Ἀμώμων διανύων, μαρτυρίου

www.tezaurliturgic.ro



πόνους ὑπήνεγκας, τῶν βαρβάρων ταῖς χερσὶ Πάτερ Ἐφραίμ.

Γνώμῃ σταθηρᾷ, μιαιφόνων ἤνεγκας μανίαν, καὶ ἀθλητικῶς προσενήνεξαι, τῷ Σωτῆρι παμμακάριστε Ἐφραίμ.

Δεῦτε οἱ πιστοί, τῇ σορῷ προσπέσωμεν τῇ θείᾳ, τοῦ Ἐφραὶμ βλυζούσῃ ἰάματα, ἵνα λάβωμεν παθῶν ἀπαλλαγήν.

Ἔστης καρτερῶς, τιτρωσκόμενος χερσὶν ἀνόμων, καὶ παρὰ Χριστοῦ Ἐφραὶμ ἔλαβες, ἀφθαρσίας τὸ διάδημα λαμπρῶς.

Ζῶν ἀσκητικῶς, τὴν ἐπιδρομὴν φέρεις ἀνδρείως, ληστρικῶν ὀρδῶν Ἐφραὶμ Ἅγιε, καὶ Μαρτύρων ἀνεδείχθης κοινωνός.

Ἥλιος ἡμῖν, ὥσπερ ἄλλος νέος Ἐφραὶμ ὤφθης, ἐκ λαγόνων γῆς ὡς ἐπέφανας, ὁ πρὶν ἄγνωστος τελῶν πᾶσιν ἡμῖν.

Θαύμασι πολλοῖς, ἐδοξάσθης παρὰ τοῦ Κυρίου, καὶ παρέχεις πᾶσι βοήθειαν, τοῖς καλοῦσί σε Ἐφραὶμ θαυματουργέ.

Ἴδε συμπαθῶς, τοὺς προστρέχοντας τοῖς σοῖς λειψάνοις, καὶ παράσχου τούτοις δεόμεθα, τὰ αἰτήματα Ἐφραὶμ θαυματουργέ.

Κόπασον σοφέ, καθ' ἡμῶν τῶν πειρασμῶν τὴν ζάλην, καὶ εἰρήνην πᾶσι καὶ λύτρωσιν, τῶν δεινῶν αἴτει Ἐφραὶμ παρὰ Χριστοῦ.

Λάμπων τῷ φωτί, τῆς τοῦ Παρακλήτου ἐνεργείας, ἅπαντας προφθάνεις ἑκάστοτε, τοὺς καλοῦντάς σε Ἐφραὶμ θαυματουργέ.

Μέγας ἀρωγός, Ὀρθοδόξων ὤφθης καὶ προστάτης, καὶ παρέχεις πᾶσι τὴν χάριν σου, τοῖς προσπίπτουσι τῇ θείᾳ σου σορῷ.

Νόμοις τοῦ Θεοῦ, πολιτεύεσθαι ἡμᾶς ἀμέμπτως, Ἅγιε Ἐφραὶμ ἐνδυνάμωσον, ἵνα τύχωμεν ἐλέους θεϊκοῦ.



Ξύλου τῆς ζωῆς, ἀπολαύων ἔνδοξε Ὁσιομάρτυς, ἐκ θανατηφόρου ἀπάλλαξον, ἁμαρτίας ἡμᾶς Ἅγιε Ἐφραίμ.

Ὄμβροις μυστικοῖς, τῶν σῶν πρεσβειῶν Ἐφραὶμ παμμάκαρ, τῶν παθῶν τὴν φλόγα κατάσβεσον, καὶ τὸν θεῖον ἡμῖν δίδου φωτισμόν.

Πάθη χαλεπὰ τῶν ἐγγὺς καὶ πόρρω θεραπεύεις, πανταχοῦ προφθάνων ἑκάστοτε, καὶ παρέχεις τὴν ὑγείαν θαυμαστῶς.

Ρῦσαι πειρασμῶν, τὴν σεπτὴν Μονήν σου θεοφόρε, καὶ τοὺς ταύτῃ πίστει προσρέχοντας, ἐπευλόγει ἀοράτῳ σου ῥοπῇ.

Σθένος κατ' ἐχθρῶν, ὁρατῶν καὶ ἀοράτων δίδου, ταῖς ἐπιστασίαις σου Ἅγιε, τοῖς τιμῶσί σε Ἐφραὶμ πανευλαβῶς.

Τεῖνον τὸ σὸν οὖς, συμπαθῶς Ἐφραὶμ θαυματοφόρε, τοῖς εἰλικρινῶς προσιοῦσί σοι, καὶ φωνοῦσί σου τὴν κλῆσιν εὐλαβῶς.

Ὕδωρ νοητόν, παρακλήσεως ἁγίας βλῦσον, τοῖς ἐν λύπαις στένουσιν Ἅγιε, καὶ παράσχου πᾶσι λύτρωσιν παθῶν.

Φύλαττε ἀεί, ἀσινεῖς Ἐφραὶμ θαυματοφόρε, πάσης συμφορᾶς καὶ κακώσεως, τοὺς αἰτοῦντας τὴν θερμήν σου ἀρωγήν.

Χαίρει ἐπί σοι, ἡ Μονή σου Πάτερ καὶ κηρύττει, τῶν σῶν ταχινῶν ἀντιλήψεων, πανταχοῦ τὰς διαδόσεις ὦ Ἐφραίμ.

*Δόξα. Τριαδικόν.*

Ψάλλων νοερῶς, σὺν Ἀγγέλοις Πάτερ τῇ Τριάδι, ὕμνον ἐσαεὶ τὸν τρισάγιον, ταύτην ἵλεων ἀπέργασαι ἡμῖν.

*Καὶ νῦν. Θεοτοκίον.*

Ὤφθης ἀληθῶς, θρόνος πύρινος τοῦ Παντεπόπτου, μόνη Ἀειπάρθενε Δέσποινα· Ὅθεν αἴτει ἡμῖν θεῖον ἱλασμόν.

www.tezaurliturgic.ro



## ΣΤΑΣΙΣ Γ'.

*Ἦχος γ'. Αἱ γενεαὶ πᾶσαι.*

Αἱ γενεαὶ πᾶσαι, μακαρίζομέν σε Ἐφραὶμ Ὁσιομάρτυς.

Αἱ γενεαὶ πᾶσαι, τῆς σῆς πολιτείας, γεραίρομεν τοὺς ἄθλους.

*Κατ' ἀλφάβητον.*

Ἄσαρκος καθάπερ, Ἐφραὶμ Ὁσιομάρτυς, ἐβίωσας ἐν κόσμῳ.

Βλέπων τοῦ Σωτῆρος, Ἐφραὶμ τὴν θείαν δόξαν, ὑπὲρ ἡμῶν δυσώπει.

Γνώμῃ εὐθυτάτῃ, δουλεύων τῷ Κυρίῳ, ἐνήθλησας νομίμως.

Δύναμιν παράσχου, Ἐφραὶμ Ὁσιόμαρτυς, ἡμῖν κατὰ τοῦ πλάνου.

Ἔλαμψας ἀρτίως, γῆθεν τὰ λείψανά σου, ἡμῖν ἀποκαλύψας.

Ζῶν βίον Ἀσωμάτων, ἐν ὄρει τῶν Ἀμώμων, ἐκτάνθης ὑπ' ἀνόμων.

Ἡ πάντιμος σορός σου, Ἐφραὶμ Ὁσιομάρτυς, βρύει ἀεὶ ἰάσεις.

Θεοῦ θεράπων ὤφθης, ἀσκήσας καὶ ἀθλήσας, Ἐφραὶμ προθύμῳ γνώμῃ.

Ἰάτρευσον τὸ ἄλγος, ψυχῆς μου τῆς νοσούσης, Ἐφραὶμ Ὁσιομάρτυς.

Κατάβαλε τὸ θράσος, τὸ καθ' ἡμῶν παμμάκαρ, ἐχθροῦ τοῦ ἀρχεκάκου.

Λαμπόμενος τῷ φέγγει, Ἐφραὶμ τῷ Τρισηλίῳ, φῶς θεῖον ἡμῖν αἴτει.

Μαρτυρικῆς εὐκλείας, Ἐφραὶμ κατηξιώθης, ὡς καρτερῶς ἀθλήσας.



Νοσούντων ἰατῆρα, παρέσχεν ὁ Χριστός σε, Ἐφραὶμ τοῖς θλιβομένοις.

Ξενίζει ἡμᾶς πάντας, ἡ ξένη ἄθλησίς σου, Ἐφραὶμ Ὁσιομάρτυς.

Ὁσίως ἐβιώσω, καὶ πόνοις μαρτυρίου, Ἐφραὶμ ἐμεγαλύνθης.

Πηγάζει ἡ σορός σου, ἰάματα ποικίλα, Ἐφραὶμ τοῖς προσιοῦσι.

Ρυσθῆναι ἐκδυσώπει, ἡμᾶς πάσης ἀνάγκης, Ἐφραὶμ τοὺς σὲ τιμῶντας.

Σωμάτων θεραπεύεις, καὶ τῶν ψυχῶν τὰ πάθη, Ἐφραὶμ τῶν σὲ τιμώντων.

Ὑπέρτερον τὸν νοῦν μου, δεῖξον Ἐφραὶμ θεόφρον, γηΐνης προσπαθείας.

Φλογί τῆς χάριτός σου, φλέξον τὴν δυναστείαν, τὴν καθ' ἡμῶν τοῦ πλάνου.

Χαρᾶς τῆς οὐρανίου, τρυφῶν Ἐφραὶμ ἀπαύστως, ἡμᾶς λύτρωσαι λύπης.

*Δόξα. Τριαδικόν.*

Ψυχῶν τὴν σωτηρίαν, Τριὰς Ὑπεραγία, δὸς ἡμῖν ὡς Οἰκτίρμων.

*Καὶ νῦν. Θεοτοκίον.*

Ὡς Μήτηρ τοῦ Σωτῆρος, Παρθένε Θεοτόκε, σῷζε ἡμᾶς ἀπαύστως.

***Εὐλογητάρια. Ἦχος πλ. α'.***

Εὐλογητὸς εἶ Κύριε, δίδαξόν με Ἐφραὶμ ἀνευφημῆσαι.

Τῶν Ἀγγέλλων τὸν βίον, ἐν τῷ Ὄρει Ἀμώμων, διανύων θεόφρον, τῶν βαρβάρων τὴν ὁρμήν, κατὰ τοῦ ἀπελθόντων, ἤνεγκας στερρῶς, καὶ Μαρτύρων στέφανον, ἐκ Κυρίου εἴληφας Ἐφραὶμ Ἅγιε.

www.tezaurliturgic.ro



Εὐλογητὸς εἶ Κύριε, δίδαξόν με Ἐφραὶμ ἀνευφημῆσαι.

Τί ὡς μύρα, τῶν πιστῶν ὁ σύλλογος, θεῖα ᾄσματα καὶ ὕμνους, τῷ Ὁσίῳ καὶ Μάρτυρι ᾄδετε, νῦν Ἐφραὶμ τῷ θεοφόρῳ; Ἀλλὰ σὺν αὐτοῖς τούτῳ ἐκβοήσατε· Μακάριος σὺ εἶ Ὁσιομάρτυς ἔνδοξε.

Εὐλογητὸς εἶ Κύριε, δίδαξόν με Ἐφραὶμ ἀνευφημῆσαι.

Λίαν θερμῶς, τῇ Μονῇ σου σπεύδουσιν, εὐσεβῶν χορεῖαι καθ' ἑκάστην, καὶ τῇ θείᾳ σορῷ σου προσπίπτοντες ἐν πίστει, χάριν δαψιλῆ, ἐξ αὐτῆς λαμβάνουσι, καὶ ὑμνοῦσιν Ἐφραίμ, τὰ σὰ κατορθώματα.

Εὐλογητὸς εἶ Κύριε, δίδαξόν με Ἐφραὶμ ἀνευφημῆσαι.

Μυροφόροι καθάπερ, οἱ πιστοὶ ἀντὶ μύρων, σοὶ προσφέρουσιν Ἐφραὶμ τὸν ὕμνον, τὴν σὴν ἀρωγήν, ἐκδεχόμενοι Πάτερ, ἣν δίδου ἀεὶ τοῖς προσερχομένοις σοι, καὶ ἁπάντων πλήρου τὰ αἰτήματα.

*Δόξα. Τριαδικόν.*

Προσκυνήσωμεν πάντες, τὴν Ἁγίαν Τριάδα, ἐν μιᾷ τῇ οὐσίᾳ, τὴν δεσπόζουσαν πάντων, καὶ βοήσωμεν πίστει, σὺν τοῖς νοεροῖς Ἀγγέλοις τὸ ἅγιος, ἅγιος, ἅγιος εἶ Κύριε.

*Καὶ νῦν. Θεοτοκίον.*

Ζωοδότην τεκοῦσα, τὸν Ὑπέρθεον Λόγον, ἀλογίας τὸν κόσμον, ἐκλυτρούμενον Κόρη, διὰ τοῦτό σοι πάντες κράζομεν Ἁγνή· Ρῦσαι ἡμᾶς Δέσποινα, ἐκ παθῶν τῆς ψυχῆς ὁμοῦ καὶ σώματος.

*Ἀλληλούϊα ἐκ γ'. δόξα σοι ὁ Θεός.*

*Γ.Μ.Μ.*



## *Θαυμαστὴ Θεραπεία*

Εἶχα φρικτοὺς πόνους στὴν καρδιὰ καὶ στὸ κεφάλι ἀπὸ παράλυσι τῶν νεύρων τῆς καρδιᾶς· δὲν μποροῦσα νὰ σταθῶ στά πόδια μου. Τέσσερα χρόνια εἶχα στὸ κρεββάτι μὲ ἀπελπισία μεγάλη, καὶ οἱ πόνοι ὅλο καὶ μεγάλωναν, ὥσπου μιὰ ψυχὴ μοῦ ἔφερε τὸ βιβλίο τοῦ θαυματουργοῦ Ἁγίου Ἐφραίμ. Τὸ διάβασα ὅλο καὶ πάρα πολὺ ἐθαύμασα γιὰ τὰ τόσα του θαύματα, καὶ πολὺ παρεκάλεσα τὸν Χριστὸ νὰ μοῦ στείλῃ τὸν ἀπεσταλμένο του, τὸν Ἅγιο ποὺ διάβασα ἐκεῖνο τὸ βράδυ. Ἀλλὰ τί νὰ σᾶς πῶ, δὲν πρόλαβα νὰ τελειώσω καὶ τὸν βλέπω δίπλα μου καὶ ἀκούω τὴν γλυκειά του τὴν φωνή· «**Τί ἔχεις παιδί μου;**». Τὸ κεφάλι μου καὶ ἡ καρδιά μου, δὲν ἀντέχω ἀπὸ τοὺς πόνους, βοήθησέ με Ἅγιέ μου· καὶ ὁ Ἅγιος ἔπιασε καὶ μοῦ ξεκλείδωσε μία-μία ὅλες μου τὶς κλειδώσεις, καὶ τόσον ἦταν οἱ πόνοι μου φοβεροὶ ποὺ φώναζα· φτάνει Ἅγιέ μου, καὶ ὁ Ἅγιος· **ἄφησέ με, παιδί μου, νὰ σὲ κάμω καλά.** Τότε πάλι μοῦ συναρμολόγησε τὶς κλειδώσεις μου, ἔβαλε τὸ κεφάλι του στὴν καρδιά μου, μὰ τί νὰ σᾶς πῶ, ἀγαπητοί μου ἀδελφοί, τὴν ζεστή του τὴν ἀναπνοὴ τὴν αἰσθάνθηκα μέσα γιὰ μέσα στὴν καρδιά μου.

Κατόπιν ἔπιασε τὸ κεφάλι μου μὲ τὰ δυὸ του χέρια καὶ τὸ πίεζε μὲ δύναμι δεξιὰ - ἀριστερά, πάνω - κάτω, ὥστε αὐτὴν τὴν ὥρα ἔνιωσα τὸν ἑαυτό μου νὰ εἶμαι τελείως καλά.

Καὶ ὁ Ἅγιος, ποὺ ἀκόμα τὸν ἔβλεπα δίπλα μου, μοῦ λέγει· **πὲς παιδί μου τὸ ὄνομά μου, Ἐφραὶμ μὲ λένε.** Καὶ εἶπα, Ἅγιέ μου Ἐφραίμ. Καὶ ἐπειδή, λόγῳ τῆς ἀρρώστιάς μου, δὲν μποροῦσα νὰ τὸ προφέρω καθαρά, μοῦ λέγει ὁ Ἅγιος· πές το πιὸ δυνατά, παιδί μου, καὶ τὸ εἶπα γιὰ δεύτερη φορά· «Ἅγιέ μου Ἐφραίμ», καὶ μοῦ εἶπε καὶ πάλι·